— 2. Ὑπετίθεμεν, ὑπέθεμεν, ὑποτεθέν, ὑποθεῖτο, ὑποκέηται, ὑποθεῖτε, ὑποτεθηκυῖα, ὑποθέσθαι, ὑπετίθεσο, ὑποτιθῆται, ὑποθετός. — 3. Προὔθετε, μετατίθης, ἐπιθῇ (*2 sens*), μετατίθῃς, ἐπιτεθῇς, παραθείη, παρατιθείη, ἀνατίθεσθε (*2 sens*), ἀπέθηκας, περιθῶμεν, διατεθήσει, διακεῖσο, διατεθηκόσι, ἐπίθες. — 4. Οἱ παλαιοὶ τοῖς ἀποθανοῦσιν ὀβολὸν εἰς τὸ στόμα **κατετέθεσαν**. — 5. Ὁ νόμος λέγει· ὃ μὴ **κατέθου**, μὴ λάμβανε. — 5. Ἀντίγονος ὁ βασιλεὺς Διόνυσον πάντα ἐμιμεῖτο, κισσῷ **περιτεθέμενος** τὴν κεφαλὴν[1] ἀντὶ διαδήματος καὶ θύρσον ἀντὶ σκήπτρου φέρων. — 6. Οὕτως οἱ πάλαι Ἀθηναῖοι ἐπεμελοῦντο[2] ὅπως τὰ τῆς πόλεως καλῶς ἕξει[3], ὥστε πολλάκις τὰ ἑαυτῶν χρήματα εἰς τὸ κοινὸν ἑκόντες **ἀπέθεσαν**. — 7. Τοσοῦτον εἰς ἀρετὴν **προσθήσεις**, ὅσον ἂν ὑφέλῃς[4] τῶν ἡδονῶν. — 8. **Κατάθεσθε** τὰ ὅπλα αὐτίκα. — 9. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς **ἐπιθέσθαι** τοῖς πολεμίοις, εἶπεν· « Οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην. — 10. Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι, καὶ ἐκεῖνος **ἀπέθετο** μὲν τὸν στέφανον, διετέλει δὲ θύων[5]· ἐπεὶ[6] δὲ ὁ ἄγγελος **προσέθηκε** καὶ ἐκεῖνο ὅτι[7] νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν **ἐπέθετο** τὸν στέφανον. — 11. Αἴσωπος λέγει δύο πήρας ἕκαστον ἡμῶν ἐπιφέρειν, τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν **ἀποτιθέναι**[8] τὰ τῶν

1. Acc. de relation. — 2. Ἐπιμελέομαι ὅπως, et le futur, *veiller à ce que*. — 3. Cf. ἔχω*. — 4. Ἂν ὑφέλῃς, à rendre par le futur antérieur. — 5. θύων, *sacrifiant = à sacrifier*. — 6. Ἐπεί, *quand*. — 7. Ἐκεῖνο ὅτι, *ceci à savoir que :* cf. le latin *illud, quod*. — 8. Sujet s.-ent. : *les hommes*.

N. B. — Le grec emploie volontiers un adverbe avec l'article : τὰ νῦν, *les choses d'aujourd'hui*.

ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν. — 12. Ἐγὼ θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις **θεῖναι.**

50. *Version.*

Œdipe et le sphinx.

Σφίγγα μυθολογοῦσι, θηρίον διμορφόν, παραγενομένην εἰς τὰς Θήβας, αἴνιγμα προτιθέναι τῷ δυναμένῳ λῦσαι, καὶ πολλοὺς ὑπ' αὐτῆς δι' ἀπορίαν ἀναιρεῖσθαι. Ἦν[1] δὲ τὸ προτεθὲν ὑπὸ τῆς Σφιγγός· « Τί ἐστι τὸ αὐτὸ δίπουν, τρίπουν καὶ τετράπουν;

Ἀλλ' ὁπόταν[4] βαίνῃ πλείστοισι πόδεσσι[5],

Ἔνθα μένος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ. »

Ἀπορουμένων δὲ τῶν ἄλλων, ὁ Οἰδίπους ἀπεφήνατο ἄνθρωπον εἶναι τὸ προβληθέν· νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα τετράπουν εἶναι· αὐξήσαντα δέ, δίπουν· γηράσαντα δέ, τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν. Ἐνταῦθα τὴν μὲν Σφίγγα ἑαυτὴν κατακρημνίσαι[7], τὸν δὲ Οἰδίπουν γῆμαι τὴν ἀγνοουμένην ὑφ' ἑαυτοῦ μητέρα, τῷ λύσαντι ἔπαθλον[8] προτιθεμένην.

1. Ἦν = *était la suivante.* — 4. Ὅποταν, et le subj., *quand.* — 5. Πλείστοισι πόδεσσι = πλείστοις ποσί; plus loin, γυίοισιν = γυίοις. — 6. Construire : αὐτὸν ὑπάρχοντα (*étant*) νήπιον comme sujet de εἶναι, cet infinitif se rattachant à ἀπεφήνατο : *Œdipe expliqua que.* — 7. Κατακρημνίσαι : proposition infinitive dépendant de μυθολογοῦσι. — 8. Ἔπαθλον est attribut : le traduire en le faisant précéder de *comme.*

N. B. — Dans la proposition infinitive, l'infinitif correspond aussi bien à l'imparfait qu'au présent de l'indicatif.

Verbe ἵημι. Gr., §§ 135-137.

Apprendre et conjuguer sur ἵημι :

1. ἀν-ίημι, *faire pousser; relâcher;* moy., *mettre à nu.*
2. ἀφ-ίημι, *lâcher;* moy., *abandonner.*
3. ἐφ-ίημι, *lancer, acc.;* moy., *désirer, gén.*
4. μεθ-ίημι, *omettre, acc.;* moy., *s'abandonner.*
5. παρ-ίημι, *abandonner.*
6. προ-ίημι, *envoyer en avant;* moy., *envoyer devant soi.*
7. συν-ίημι, *rapprocher; comprendre;* moy., *s'entendre.*

51. *Exercice.*

1. Nous lâchons[1], vous lâchez, ils lâchèrent; que tu abandonnes (*aor.*)[2], puissions-nous abandonner! (*aor.*); nous avons lâché, qu'ils lâchent (*imp. aor.*), avoir lâché, avoir-fini de lâcher; puisse-t-il lâcher! (*opt. pr. et aor.*); avoir été lâché (*aor. et pf.*); lâchant et ayant lâché (*nom. f. sg.*); il avait fini d'être lâché; abandonne (*pr. et aor.*); sois lâché (*imp. pr. et aor.*); il abandonnera, abandonnez (*imp. aor.*). — 2. Qu'ils envoient en avant[3] (*subj. pr. et aor.*), envoyant et ayant envoyé en avant (*nom. f. pl.*), il avait fini d'envoyer en avant; envoyer en avant (*inf. pr. et aor.*); tu envoyais, envoyas, avais fini d'envoyer devant toi[4]; puisse-t-il envoyer devant lui! (*opt. pr. et aor.*);

1. Ἀφίημι. — 2. Ἀφίεμαι. — 3. Προίημι. — 4. Προίεμαι.

avoir été envoyé en avant (*aor. et pf.*). — 3. Devoir rapprocher [5], il rapproche, puissions-nous rapprocher! (*opt. aor.*), avoir rapproché (*aor. et pf.*), rapprochez (*imp. pr. et aor.*); sois rapproché (*imp. aor.*), ayant été rapprochées (*gén. pl. f.*); puissent-ils s'entendre [6]! (*opt. aor.*), devoir s'entendre, s'être entendu, avoir fini de s'entendre; que tu sois rapproché (*pr. et aor.*), ayant fini d'être rapprochés (*nom. pl. masc.*), tu étais et il sera rapproché. — 4. Les archers et les frondeurs **lancèrent** [1] leurs traits bien avant [d']atteindre [7] [l'ennemi]. — 5. Ne poursuis pas ce qui est obscur (tournez : *les choses obscures*), **en abandonnant** [2] ce qui est évident. — 6. Vous obéissez à la colère et vous ne **tenez pas compte** [8] de la justice. — 7. Ayant d'abord **désiré** [9] les plus grands honneurs, ces jeunes gens se **relâchèrent** [10] et **abandonnèrent** [2] leurs nobles projets. — 8. Cet enfant **désirait** [9] réellement s'instruire; s'il ne **comprenait** [5] pas (εἰ, μή *et l'opt.*) les leçons du maître, il **n'omettait** [11] jamais [d'] interroger celui-ci. — 9. Quand (ὅταν, *subj.*) tu **as lâché** [1] tes chiens, ils ne se **relâchent** [10] pas avant de (πρὶν ἄν, *subj.*) saisir le gibier; toi, si tu voulais **comprendre** [5] les choses enseignées, tu continuerais à travailler (tournez : *travaillant*) courageusement, mais tu **te relâches** [10] tout de suite et toujours tu **t'es abandonné** [12].

5. συνίημι. — 6. συνίεμαι. — 7. ἐξικνέομαι. — 8. προσίεμαι, *acc.* — 9. ἐφίεμαι. — 10. ἀνίεμαι. — 11. μεθίημι. — 12. μεθίεμαι.

52. *Exercice.*

1. Ἀφιᾶσι, ἀφιεῖσι, ἀφίεσαν, ἀφεῖσαν, ἀφιεῖσα, ἀφίει (*2 sens*), ἀφίετο, ἀφεῖτο, ἀφέσθαι, ἄφες, ἀφεθῆναι, ἀφεθῇς. — 2. Ἐφῆκε, ἐφοῦ, ἐφιῇ (*2 sens*), ἐφεθείς, ἐφεῖσο (*2 sens*), ἐφεῖο, ἐφεθῶ,

N. B. — L'article suffit souvent pour exprimer un possessif évident.

ἐφίεσο (*2 sens*). — 3. Προεῖναι, προιεῖτε, προίετε (*3 sens*), συνείς, συνέσθω, ἀνιέναι, ἀνέσθαι, ἀνειμένος, ἀνέμενος, μεθιᾶσι, μεθές, μεθῇ (*2 sens*), μεθήσει, μεθεθείης, μεθεῖσθαι (*2 sens*). — 4. Ἐν τῇ ὀρχήσει **ἵει** ἅμα πάντα καὶ σκέλη καὶ χεῖρας καὶ κεφαλήν. — 5. Τὴν Σικελίαν φασὶν[1] οἰκηθῆναι ὑπὸ Δήμητρος καὶ Κόρης, καὶ ταύτας τὰς θεὰς ἐν αὐτῇ πρῶτον φανῆναι, καὶ τὸν τοῦ σίτου καρπὸν ταύτην τῆν νῆσον πρώτην **ἀνεῖναι.** — 6. Μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω περιβαλλομένους ὧν[2] οἷοί τ' εἰσὶ[3] κατασχεῖν, ἀλλὰ τοὺς μετρίων[4] μὲν **ἐφιεμένους,** ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν[5] ἐπιχειρῶσι. — 7. Οἱ τοὺς ἀδελφοὺς **παρέντες** καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δ' ἀλλοτρίαν γεωργοῦσιν. — 8. Αὐτοὺς ἀναβαίνοντας οἱ βάρβαροι ἐτόξευον καὶ ἔβαλλον, ἐγγὺς δ' οὐ **προσίεντο**[6], ἀλλὰ φυγῇ λείπουσι τὸ χωρίον. — 9. Πάντες οἱ Ἕλληνες κατὰ πόλεις ὅσοι ἀλλήλων **ξυνίεσαν** οὐδὲν πρὸ τῶν Τρωϊκῶν, δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων, ἀθρόοι ἔπραξαν. — 10. Τὸν ὕπνον οὔτε ἀπολείποντες[7] ἄχθονται, οὔτε διὰ τοῦτον **μεθιᾶσι** τὰ δέοντα πράττειν.

1. Φασίν, *on dit*. — 2. Ὧν = τούτων ἅ, *que ce que*. — 3. Cf. *Index*, οἷός τ' εἰμί*. — 4. Μετρίων est au neutre. — 5. Οἷς ἄν et le subjonctif, *tout ce que*. — 6. Προσίεμαι, *laisser arriver près de soi*. — 7. Rendre le participe par un infinitif précédé d'une préposition.


N. B. — Le moyen n'a que rarement le sens pronominal.

53. *Version.*

Combat de Cyrus le jeune et de son frère, le roi Artaxerxès.

Κῦρος ὡς τάχιστα[1] καθορᾷ τὸν βασιλέα καὶ τὸν ἀμφ' ἐκεῖνον στῖφος, ἐφιέμενος μάχεσθαι λέγει « τὸν ἄνδρα ὁρῶ », καὶ ἵεται ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα ἀπέθανον Κῦρός τε αὐτὸς καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτόν, οὐδὲν[2] τῆς ὁρμῆς ἀνειμένοι.

1. Ὡς τάχιστα, *sitôt que*. — 2. Οὐδέν, *acc.*, *en rien.*



Cl. Giraudon.

ARCHER GREC DU VI[e] SIÈCLE (fronton du temple d'Égine).

Verbe δίδωμι. Gr. §§ 138-140.

Apprendre et conjuguer sur δίδωμι *les composés :*

1. **ἀπο-δίδωμι,** *rendre.* — moy., *vendre.*
2. **ἐκ-δίδωμι,** *publier.* — moy., *marier* (*une fille*).
3. **ἐν-δίδωμι,** *céder,* intr.
4. **ἐπι-δίδωμι,** *donner en plus.* — moy., *invoquer.*
5. **μετα-δίδωμι,** *communiquer.*
6. **παρα-δίδωμι,** *transmettre.*
7. **προ-δίδωμι,** *livrer.*
8. **ὑπο-δίδωμι,** *s'affaisser,* intr.

54. *Exercice.*

1. Ils rendent, vous vendez, vends (*imp. pr. et aor.*), que je rende (*subj. pr. et aor.*), avoir vendu, il rendrait et vendrait (*opt. pr. avec* ἄν), nous avons fini de rendre, nous rendions, devoir vendre, ayant rendu et vendu (*dat. pl. masc.*). — 2. Céder, qu'il cède (*subj. aor.*), tu as marié, ils avaient fini de marier, ils s'affaissèrent, tu communiqueras, il faut communiquer (*adj. verb. neut.*). — 3. Puissent-ils livrer! (*opt. aor.*), avoir été livré, ils furent livrés; nous invoquons, qu'il invoque (*subj. aor.*), avoir fini d'invoquer, ayant donné en plus (*acc. masc. sg.*), ils marièrent, ayant été livrés (*dat. pl. masc.*). — 4. Parmi les biens[1], les dieux n'[en] **donnent** aucun aux hommes sans peine et sans souci. — 5. Nos ancêtres **ont transmis** à leurs descendants la plus florissante

1. Employer le génitif seul.

des cités. — 6. Ce misérable à qui nous **avons donné** et [qui] nous **a donné** des gages, [promettant] de ne pas nous **trahir**[2], maintenant essaie de nous intimider; mais nous ne lui **céderons** pas. — 7. Ce pays, que nos ancêtres ont rendu prospère, il faut [le] **transmettre**[3] intact à nos descendants. — 8. Ces impies, après avoir **vendu**[4] les objets sacrés, osent **invoquer** les dieux. — 9. On dit[5] que Cyrus **distribua** à ses camarades de nombreux présents qu'Astyage lui **avait donnés**[6]. — 10. J'affirme[7] que celui qui a **communiqué**[8] à l'ennemi les secrets de l'État est un traître et qu'il **vend** sa patrie. — 11. Nos ancêtres voyaient plus volontiers ceux qui empruntaient[8] que **ceux qui rendaient**[8]. — 12. Le bienfaiteur est plus sûr, l'obligé est plus vague, sachant qu'il **rendra**[9] les choses données[10] non à titre de bienfait, mais de dette. — 13. Quoi! Tu appelles dans le sanctuaire de Dionysos celui **qui** par sa lâcheté **a livré**[11] tous les sanctuaires! — 14. Il convient, mon ami, que **mariant**[12] ta fille, tu lui **transmettes** l'héritage de sa mère, afin de[13] ne pas **trahir**[14] tes serments.

2. Employer l'inf. fut. avec nég. μή. — 3. Inf. aor. — 4. Tourner : *ayant vendu*. — 5. *On dit*, φασί, prop. inf. — 6. *Avait donnés;* employer le pl.-q.-pf. — 7. *J'affirme*, φημί, et prop. inf. — 8. Tourner par le participe (*le ayant communiqué*). — 9. Tourner : *sachant* (εἰδώς) *devant rendre*. — 10. Employer le part. parf. — 11. Tourner : *le ayant livré*, part. parf. — 12. Ἐκδίδομαι, *moy*. — 13. *Afin de*, ἵνα *subj*. (nég. μή). — 14. Προδίδομαι, *moy*.

55. *Version.*

1. Ἐκδίδοκασι, ἐξεδίδοντο, ἐκδοθήσεται, ἐκδόμενος, ἐκδιδῷ (*2 sens*), ἐκδοῖσθε, ἐκδόντων (*2 sens*), ἔκδος, ἐκδόν, ἐκδοῦ, ἐξεδέδοσο (*2 sens*), ἐξεδίδοσο, ἐκδιδοῦσι, ἐκδίδοσθε, ἐκδεδόσθαι

N. B. — Ne pas oublier d'intercaler l'augment dans les verbes composés.

(*2 sens*), ἐκδώσει (*2 sens*). — 2. Ἀποδίδωσι, ἀποδιδῶσι, ἀπέδου, ἀποδοῦ, ἀποδοθήτω, — ὑπέδομεν, ὑποδοῦναι. — 3. Προδίδοτε (*2 sens*), προδοθέν, προδότω, προδέδοσο, ἐπιδοθῇ, ἐπιδιδοῖντο, ἐπιδόσθων. — 4. Ὦ Ζεῦ καὶ Ἀθηνᾶ, **δότε** μοι ἀρετὴν ψυχῆς. — 5. Οἱ Φοίνικες τοῖς Ἕλλησι τὰ γράμματα **παρέδοσαν.** — 6. Ὅτε εἷλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος, **ἀπέδοτο** τοὺς ἐλευθέρους πάντας. — 7. Διογένης ἔλεγε τῆς αὐτῆς ἁμαρτίας εἶναι[1] τὸ **διδόναι** οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι οἷς δεῖ. — 8. Εἰς συμπόσιον μὲν κληθέντες, τῷ παρόντι[2] χρώμεθα· εἰ* δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι ἢ πλακοῦντας, ἄτοπος ἂν* δόξειεν· ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ **διδόασι,** καὶ ταῦτα[3] πολλῶν ὄντων ἅ γε ἡμῖν **δεδώκασι.** — 9. Ὁμοίως ἐπισφαλές ἐστι μαινομένῳ **δοῦναι** μάχαιραν, καὶ μοχθηρῷ δύναμιν. — 10. Φίλιππος ἐρωτώμενος τίνας μὲν μάλιστα φιλεῖ, τίνας δὲ μισεῖ, ἀπεκρίνατο· « Μάλιστα μὲν φιλῶ τοὺς μέλλοντας **προδιδόναι,** τοὺς δ' ἤδη **προδεδωκότας** μάλιστα μισῶ. » — 11. Ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ **ἔδοσαν,** δευτέρους δ' αὐτοῦ πάντας ἐτίθεντο. — 12. Ἐπαμεινώνδας ἕνα εἶχε τρίβωνα· διὸ καὶ εἰ* αὐτὸν εἰς κναφεῖον **διδοίη,** ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. — 13. **Μεταδίδου** τοῖς δεομένοις τῶν ὄντων[4]· ὁ γὰρ μὴ **διδοὺς** δεομένῳ οὐδ' αὐτὸς λήψεται[5] δεόμενος. —

1. Cf. la construction du verbe *esse* latin avec le génitif. — 2. Τῷ παρόντι, *la chose présente = ce qu'on nous sert.* — 3. Καὶ ταῦτα, *et cela,* formule d'insistance — 4. Τὰ ὄντα, *les biens;* rattacher à μεταδίδου. — 5. Λήψεται, s.-ent. οὐδέν.

N. B. — Après un verbe *sentir,* le grec emploie le participe : αἰσθάνομαι ἀδικῶν, *je sens que je suis coupable.*

14. Πυθαγόρας ἔλεγε δύο ταῦτα ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις **δεδόσθαι** κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — 15. Ἐν μὲν τῷ ῥαθυμεῖν καὶ τὰς πλησμονὰς[6] ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι[7]· τὸ δὲ περὶ τὴν ἀρετὴν ἀεὶ πονεῖν τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας **ἀποδίδωσι.** — 16. Πρὸς τὸν Σωκράτη Αἰσχίνου[8] εἰπόντος[9]· « Πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, **δίδωμι** δέ σοι ἐμαυτόν· » — « Ἀρ' οὖν, εἶπεν, οὐκ αἰσθάνει τὰ μέγιστά μοι **διδούς;** »

6. Πλησμονάς, *les plaisirs*. — 7. Παραπέπηγασι. Chercher le simple, πήγνυμι. — 8. *Eschine,* disciple de Socrate. — 9. Génitif absolu.

56. *Version.*

Le loup et les moutons (*La Fontaine, III, 13*).

Καθ' ὃν χρόνον[1] ὁμόφωνα ἦν τὰ ζῷα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. Τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι[2] καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι, πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς προβάσιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ καὶ μηδένα πόλεμον ὑποπτεύειν[3], τοὺς κύνας αὐτοῖς[4] ἐκδοῦναι. Τῶν δὲ προβάτων ὑπ'[5] ἀνοίας πεισθέντων καὶ τοὺς κύνας ἐκδεδωκότων[6], οἱ λύκοι τούς τε κύνας διεσπάραξαν καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν.

1. Καθ' ὃν χρόνον, *au temps où*. — 2. Θρέμμασι, *moutons*. — 3. Ὑποπτεύειν, proprement : *soupçonner;* ici, *redouter*. — 4. Αὐτοῖς = les loups. — 5. Ὑπό, *par* l'*effet de*. — 6. On remarquera la nuance du participe parfait (*la chose est faite*), après le participe aoriste.

N. B. Ne pas oublier le redoublement et sa place dans les verbes composés.

II. Verbe **δείκνυμι.** Gr., § 141.

Apprendre et conjuguer sur δείκνυμι :

1. **ἄγνυμι,** *briser, f.* ἄξω, *aor.* ἔαξα. — *Pass., aor. 2* ἐάγην, *pf. 2* ἔαγα, *je suis brisé.*

2. **ἀμφι- έννυμι,** *revêtir, f.* ἀμφιέσω, *f. 2* ἀμφιῶ, *aor.* ἠμφίεσα. — *Pass.,* ἠμφιέσθην, *pf.* ἠμφίεσμαι.

3. **ζεύγνυμι,** *joindre, f.* ζεύξω, *aor.* ἔζευξα. — *Pass., aor. 2* ἐζύγην, *pf.* ἔζευγμαι.

4. **ζώννυμι,** *ceindre, f.* ζώσω, *aor.* ἔζωσα, *pf.* ἔζωκα. — *Pass., aor.* ἐζώσθην, *pf.* ἔζωσμαι.

5. **κεράννυμι,** *mêler, f.* κεράσω, *aor.* ἐκέρασα. — *Pass., aor.* ἐκεράσθην, *pf.* κεκέρασμαι.

6. **κρεμάννυμι,** *suspendre, f.* κρεμάσω, *aor.* ἐκρέμασα. — *Pass., f.* κρεμασθήσομαι, *aor.* ἐκρεμάσθην.

7. **πετάννυμι,** *déployer, f.* πετάσω, *aor.* ἐπέτασα. — *Pass., aor.* ἐπετάσθην, *pf.* πεπέτασμαι.

8. **πήγνυμι,** *ficher, f.* πήξω, *aor.* ἔπηξα. — *Pass., f. 2* παγήσομαι, *aor. 2* ἐπάγην, *pf.* πέπηγμαι. — *Pf. 2* πέπηγα, *je suis enfoncé.*

9. **ῥήγνυμι,** *déchirer, f.* ῥήξω, *aor.* ἔρρηξα, *pf.,* ἔρρηχα. — *Pass., aor. 1* ἐρρήχθην, *aor. 2* ἐρράγην, — *Pf. 2* ἔρρωγα, *je jaillis.*

10. **σβέννυμι,** *éteindre, f.* σβέσω, *aor.* ἔσβεσα. — *Pass., aor.* ἐσβέσθην, *pf.* ἔσβεσμαι.

11. **σκεδάννυμι,** *disperser, f.* σκεδάσω, *f. 2* σκεδῶ,

aor. ἐσκέδασα. — *Pass., f.* σκεδασθήσομαι, *aor.* ἐσκεδάσθην, *pf.* ἐσκέδασμαι.

12. **στρώννυμι,** *étendre, f.* στρώσω, *aor.* ἔστρωσα, *pf.* ἔστρωκα. — *Pass., f.* στρωθήσομαι, *aor.* ἐστρώθην, *pf.* ἔστρωμαι.

57. *Exercice.*

1. Tu briseras [1], devoir briser, ils furent brisés, nous sommes brisés (*pf.*); étendre [2], nous étendrons, avoir été étendu, avoir fini d'être étendu, étends (*imp. aor.*); mêlant [3] (*n. masc. pl.*), ayant mêlé (*dat. masc. pl.*), qu'il mêle (*subj. pr. et aor.*), puisse-t-il mêler (*subj. pr. et aor.*)! — 2. Ils disperseront [4] (*f. 1 et 2*), devant disperser (*n. masc. pl. f. 1 et 2*), que nous dispersions (*subj. pr. et aor.*), ayant été dispersés (*dat. pl. masc.*), vous disperseriez (*opt. pr. et aor. avec* ἄν), avoir fini d'être dispersés. — 3. Déployer [5], ils déploient, il fut déployé, déployez (*imp. pr. et aor.*), vous déploierez (*f. 1er, — et f. 2* πετῶ, ᾷς). — 4. Ceux qui ont **répandu** [6] contre moi cette rumeur, sont de terribles accusateurs. — 5. Les matelots **ayant suspendu** aux mâts des couronnes, **déployèrent** les voiles. — 6. Les chevaux qu'Hippolyte avait **attelés** lui-même, étant effrayés par le monstre, et n'obéissant plus à leur maître, le char **fut brisé** contre les rochers. — 7. Æétès promit [7] à Jason [de] lui donner la toison d'or, s'il [7] **mettait** seul **sous le joug** [8] les

1. ἄγνυμι. — 2. στρώννυμι. — 3. κεράννυμι. — 4. σκεδάννυμι. — 5. πετάννυμι. — 6. Tourner : *les ayant répandu,* κατασκεδάννυμι. — 7. *Promit,* ὑπέσχετο et inf. fut. *Si,* εἰ et l'opt. fut. — 8. ζεύγνυμι.

N. B. — Un futur 2 comme ἀμφιῶ (*de* ἀμφιέννυμι) se conjugue comme ποιῶ : ἀμφιῶ, εῖς, εῖ, *inf.* ἀμφιεῖν, *part.* ἀμφιῶν, οῦσα, οῦν, etc.

taureaux aux pieds d'airain. — 8. Servantes, **étendez**[9] les tapis, **ouvrez**[10] les coffres pleins de provisions, **mêlez**[3] l'eau et le vin dans les cratères, et **revêtez**[11] nos hôtes de mes plus riches vêtements. — 9. Alors le héros, ayant jeté[12] le glaive dont il **était ceint** et **fiché** sa lance en terre, dit à son adversaire : « Pourquoi **n'éteindrions-nous**[13] pas notre haine, et ne nous **jurerions-nous** pas une loyale amitié? » — 10. Le tyran, quoique **ayant fait périr** mille citoyens, ne put **éteindre** la sédition.

9. Employer partout l'imp. aor. — 10. ἀν-οίγνυμι. — 11. ἀμφιέννυμι. — 12. ῥίπτω. — 13. Employer l'opt. aor. avec ἄν.

58. *Exercice.*

1. Nous revêtirons[1] (*f. 1 et 2*), devoir revêtir (*f. 1 et 2*), devant revêtir (*n. sg. neut. f. 1 et 2*); ils furent éteints[2], éteignez (*imp. pr. et aor.*), avoir été éteint (*inf. pf. et aor.*), ayant éteint (*n. f. sg.*). — 2. Ficher[3], avoir fiché, qu'il fiche (*subj. pr. et aor.*), ils sont enfoncés, ils seront fichés, ils furent fichés; tu ceindras[4], puisse-t-il ceindre (*opt. pr. et aor.*) ! vous serez ceints, ayant été ceints (*dat. m. pl.*). — 3. Ils mêleront[5], devoir mêler, devant mêler (*n. f. pl.*). — 4. Vous joindrez[6], qu'ils joignent (*subj. pr. et aor.*), joins (*imp. pr. et aor.*); suspendre[7], avoir suspendu, ils furent suspendus; avoir fini d'être suspendu. — 5. Tomyris[8], reine des Massagètes, ayant **rempli** une outre de sang humain, [y] plongea[9] la tête de Cyrus; et insultant au mort, elle ajoutait : « Je te **rassasierai** de sang, comme je

1. ἀμφιέννυμι. — 2. σβέννυμι. — 3. πήγνυμι. — 4. ζώννυμι. — 5. Employer κερῶ, ᾷς, *f.* 2 de κεράννυμι. — 6. ζεύγνυμι. — 7. κρεμάννυμι. — 8. Τόμυρις. — 9. ἐναφ-ίημι.

N. B. — Un futur 2 comme σκεδῶ (*de* σκεδάννυμι) se conjugue comme τιμάω : σκεδῶ, ᾷς, ᾷ; *inf.*, σκεδᾶν; *part.*, σκεδῶν-ῶντος, ῶσα-ώσης, etc.

[t'en] ai menacé. » — 6. Les Paphlagoniens surprenaient, la nuit, les soldats **dispersés**. — 7. Tu as avec raison **fortifié** ton corps; mais ne faut-il pas aussi **fortifier** ton âme? — 8. Les assiégeants **comblant** [10] le fossé et **brisant** les portes, **se dispersent** dans les maisons et **tuent** [11] tous ceux qui résistent. — 9. Les historiens racontent que les Romaines, ayant appris cette grave défaite, **déchirèrent** leurs voiles et **se revêtirent** de vêtements de deuil. — 10. Le fait **d'éternuer** fut souvent considéré [12] par les anciens [comme] un heureux présage. — 11. A celui qui a **juré** faussement, même s'il [13] **jure** demain sincèrement, personne ne pourra ajouter foi.

10. χώννυμι. — 11. ἀποκτίννυμι. — 12. Tourner : *les anciens considérèrent*. — 13 *Si*, ἐάν, subj.

59. *Version.*

1. Πηγνύναι, πέπηκται, πεπήγασι, ἐπήξατο, πήξετε, πήξασα, παγέντες, πεπηγέναι, πηγνύς, πήγνυς, πῆξαι (*2 sens*), ἐπήγνυς, πήγνυνται, ἐπήγνυτο. — 2. Σκεδῶντι, σκεδῶσι (*2 sens*) — ἀμφιοῦσι (*2 sens*), ἀμφιεῖς, ἀμφιεῖν. — 3. Ῥήξεσθαι, πεταννύασι, σϐέσετε, ἐρρωγέναι, στρώννυτε (*2 sens*), ἐρράγη, ἀγνῦσα, κρέμασον, ἐζώννυτε, ῥηξάτω. — 4. Ἐσϐέσθαι, ἔζωσθε, ἐάγη, πεπέτασται, ἐκεράσω, ζυγῶ, ἠμφίεσαι, ἐρρήξαντο, ἠμφιέννυσαν, πετασάμενος, πετάσαι, πέτασαι. — 5. Ἀνδρὸς οἶνος **ἔδειξε** νόον. — 6. Λέγουσι Διόνυσον **καταδεῖξαι** τὰ περὶ τὰς τελετὰς καὶ μεταδοῦναι τοῖς εὐσεϐέσι τῶν ἀνθρώπων καὶ δίκαιον βίον ἀσκοῦσι. — 7. Ἡρακλῆς χειρωσάμενος τὸν λέοντα [1] τὴν δορὰν τοῦ θηρίου

1. Le lion de Némée.

N. B. — On remarquera particulièrement l'accent du participe présent actif.

ἠμφιέσατο. — 8. Διακόπτοντες ταῖς ἀξίναις **τὰ κλεῖθρα ἀναπεταννύασι** τὰς πύλας. — 9. Πολλοὶ τῶν στρατιωτῶν, τὰ ὅπλα ἀποδιδόμενοι, εἰς τὰς πόλεις **κατεμέγνυντο.**[2] — 10. Ὦ κάκιστε, τοὺς ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμους ἐκ τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς **ἀποδεῖξαι** προθυμεῖ. — 11. Ὁ τῶν Περσῶν βασιλεύς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον **ζεύξας**[3], νῦν ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας διαγωνίζεται. — 12. Τίς οὐκ ἂν οἴοιτο τὰ ἐν τοῖς θεάτροις **ἐπιδεικνύμενα** οὐδὲν εἶναι πρὸς τὰ τῆς φύσεως θεάματα;

2. Καταμίγνυμαι, *s'insinuer*. — 3. Allusion aux fameux travaux de Xerxès.

60. *Version.*

1. Κεραννύασι, κεράννυτε (*2 sens*), ἐκεράννυτε, ζώννυσο, κερᾷ, κερῶσαι, ἔαγασι, ἐπετάσατο, ἐαγότες, σβέσαι, σκεδάσας, ἐσκέδασας, κρεμάσασθαι, πετάννυνται. — 2. Ζυγέντες, ἔρρωγε, κρεμασθήσει, ζώννυ, ἀγνύοις, ζεῦξαι (*2 sens*), ἔστρωτο, ἀμφιέσεται, κρεμάννυσθαι, ζώσω, ἐζώσω, πετασθεῖσα. — 3. Λοιδοροῦσιν εὐήθως τοὺς θεοὺς οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα **ἀπολλύντες.** — 4. Ἅμα δὲ τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος **ἐπεδείκνυ.** — 5. Ὁ οἶνος μέτριος μὲν ληφθεὶς **ῥώννυσι,** πλείων δὲ παρίησιν. — 6. Ἡ σαλαμάνδρα, ὡς λέγουσι, διὰ τοῦ πυρὸς βαδίζουσα, **κατασβέννυσι** τὸ πῦρ. — 7. Πολλοὶ ἄνθρωποι, πλειόνων[1] ἐπιθυμοῦντες, καὶ ὅσα ἔχουσι **προσαπολλύασιν.** — 8. Ἀρετή,

1. Au neutre.

N. B. — Souvent καί, comme *et* en latin, est simplement adverbe, au sens de : *même.*

κἂν[2] θάνῃ τις, οὐκ **ἀπόλλυται**. — 9. Τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακκαύσειας ἂν καὶ μεῖζον ποιήσειας ἐν βραχεῖ, καὶ τὸ τοῦ λύχνου φῶς **ἀποσβέσειας**. — 10. Οἱ παραβαίνοντες τὸν νόμον πρῶτον μὲν αὐτοὺς **ἀπολλύασιν**, ἔπειτα καὶ τοὺς ἄλλους, παράδειγμα αὐτοὺς ἀνομίας καὶ βίας παρέχοντες. — 11. Ἦν χιὼν πολλὴ καὶ ψῦχος οὕτως ὥστε[3] τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, **ἐπήγνυτο** καὶ ὁ οἶνος ὁ ἐν τοῖς ἀγγείοις. — 12. Εἰ[4] ὥσπερ[5] καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν **ἀποδεικνύασιν**, οὕτω[5] καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι.

2. Κἂν = καὶ ἐάν (*subj.*), *même si*. — 3. Οὕτως... ὥστε, *tellement que*. — 4. Εἰ, à rapprocher de διαθήσεις. — 5. Ὥσπερ... οὕτω, *ut.. ita*.

61. *Version.*

Belle réputation de Phocion.

Οἱ τῶν Ἀθηναίων σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους, ἑτέρου[2] μὲν ἐκπλέοντος στρατηγοῦ, πολεμίους νομίζοντες, ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πόλεις βοσκήματα καὶ ἀνδράποδα καὶ γυναῖκας καὶ παῖδας· εἰ δὲ Φωκίων ἡγοῖτο[3], πόρρω[4] ναυσὶν[5] ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι καὶ χαίροντες ὡς[6] αὐτοὺς κατῆγον.

1. *Phocion*, général athénien, mort en 317 av. J.-C., était célèbre par son honnêteté. — 2. Ἑτέρου, *un autre* (que Phocion). — 3. Εἰ*4. — 4. Πόρρω, *adv.* — 5. Ναυσίν, datif d'accompagnement, au sens de *avec*. — 6. Ὡς, préposition.

N. B. — Seuls le présent et l'imparfait ont une conjugaison spéciale dans les verbes en νυμι.

62. *Version.*

Un effet manqué.

Πτολεμαῖος[1] δύο καινὰ ἐς Αἴγυπτον συναγαγών, κάμηλόν τε Βακτριανὴν παμμέλαιναν καὶ δίχρωμον ἄνθρωπον, τοῖς Αἰγυπτίοις ἐπεδείκνυτο καὶ ᾤετο ἐκπλήξειν αὐτοὺς τῷ θεάματι. Οἱ δὲ πρὸς μὲν τὴν κάμηλον ἐφοβήθησαν, καίτοι[3] χρυσῷ πᾶσα ἐκεκόσμητο καὶ ἁλουργίδι ἐπέστρωτο[4]. Πρὸς δὲ τὸν ἄνθρωπον οἱ μὲν πολλοὶ ἐγέλων, οἱ δέ τινες ὡς ἐπὶ τέρατι ἐμυσάττοντο.[5] Ὥστε ὁ Πτολεμαῖος συνῆκεν ὅτι οὐκ εὐδοκιμεῖ οὐδὲ θαυμάζεται ὑπὸ τῶν Αἰγυπτίων ἡ καινότης.

1. Ptolémée Philadelphe. — 2. Δίχρωμον, *de deux couleurs* (noir d'un côté, blanc de l'autre). — 3. Καίτοι, *quoique*. — 4. Ce passif a le sens de : *être couvert de*. — 5. Μυσάττομαι, *être saisi d'horreur*.



Cl. Alinari.

L'ENFANT AU CERCEAU.
(Bas-relief d'un lécythe funéraire).

III. Verbes en μι sans redoublement ni suffixe.

Verbe φημί. Gr., § 144.

Conjuguer sur φημί :

1. **ἀπό-φημι,** *refuser.*
2. **κατά-φημι,** *affirmer.*
3. **παρά-φημι,** *conseiller.*
4. **πρόσ-φημι,** *s'adresser à.*
5. **σύμ-φημι,** *dire oui.*

63. *Exercice.*

1. Nous refusons et il refuse, refuse, puissiez-vous refuser! nous affirmons, tu disais oui, disant oui (*nom. masc. pl.*), il conseillera, s'adresser à. — 2. Il dit oui, dis oui, puisse-t-il dire oui! ils affirmaient, ils affirmèrent, qu'il affirme, adressez-vous à nous (*acc.*). — 3. Le général disait[1] à ses soldats : « Si je **refusais**[2], vous **affirmeriez** que[3] je suis un ingrat. **Je dirai** donc **oui**, et vous accorderai votre congé. » — 4. Il est beaucoup plus aisé [d'] **affirmer** que [de] prouver. — 5. Cléarque **affirma** qu'il fallait[4] camper là-même : tous les généraux **approuvèrent**[5]. — 6. Tu me **conseillais** hier de m'occuper des affaires publiques; je n'ai pas **refusé**; mais je puis t'**affirmer**[6] aujourd'hui que je suis[3] incapable de conduire la **cité**. — 7. **Adresse-toi** donc à tes parents : ils ne te **diront** pas **non**. —

1. *Disait,* tournez par : *disait-il,* intercalé dans les paroles mêmes. — 2. *Si,* εἰ'[2]; user de l'irréel. — 3. Proposition infinitive. — 4. *Qu'il fallait,* tournez : *falloir,* χρῆναι. — 5. σύμ-φημι. — 6. *Je puis affirmer,* rendre par l'opt. avec ἄν.

8. **Tu affirmais**[7] beaucoup de choses, mais tu n'[en] faisais pas beaucoup. — 9. Les soldats qui avaient échappé au désastre, **s'adressant** aux archontes, **affirmaient** que l'armée était vaincue, mais **refusaient** [d'en] dire[8] davantage.

7. κατά-φημι. — 8. Ajouter μή, devant l'infinitif.

64. *Version.*

1. Σύμφησι, συνέφαμεν, συνεφήσαμεν, συμφῶσι, συμφάσκουσι, σύμφατε (*2 sens*), συμφάναι, συμφῆσαι. — 2. Ἀποφήσουσι, ἀπόφασι, προσέφησθα, κατάφης, προσφάσκοντος, παρέφησαν, ἀπέφατε. — 3. Ὁ Αἴσωπος τοὺς ῥήτορας **ἔφη** ὁμοίους εἶναι τοῖς βατράχοις· τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δ' ἐν τῷ βήματι. — 4. Οὐ συναπατῶ σε, **φησέν,** οὐδ' ἐνεδρεύω. — 5. **Φασὶ** τοὺς Ῥοδίους ἐπίστασθαι σφενδονᾶν, καὶ τὸ βέλος αὐτῶν καὶ* διπλάσιον φέρεσθαι τῶν Περσικῶν σφενδονῶν. — 6. Ἡμεῖς οἶδ'[1] ὅτι πονηροὺς ἂν **φαῖμεν** τοὺς τὰ τοιαῦτα ποιοῦντας. — 7. Ξενοφῶντος κατηγόρησάν τινες **φάσκοντες** παίεσθαι ὑπ' αὐτοῦ καὶ ὡς ὑβρίζοντος[2] τὴν κατηγορίαν ἐποιοῦντο. Ὁ δὲ Ξενοφῶν **προσέφησε** τὸν πρῶτον ἐπαιτιασάμενον· « Εἰπέ μοι, **ἔφη,** ἐκ τίνος[3] ἐπλήγης. Πότερον ᾔτουν τί σε ἢ ἀπῄτουν; » Ἐπεὶ δὲ τούτων οὐδὲν **ἔφησεν,** ἐπήρετο αὐτὸν εἰ ὁπλιτεύοι. Οὐκ **ἔφη**[4]. — 8. **Καταφασὶν** οἱ ποιηταὶ Ἀπόλλωνος[5] μὲν Ἀσκληπιὸν εἶναι, αἰσχροκερδῆ δέ· ἡμεῖς δὲ « εἰ μὲν

1. Οἶδα, *je sais.* — 2. Ὡς (*comme*) ὑβρίζοντος, s.-ent. αὐτοῦ. — 3. Ἐκ τίνος, *pourquoi.* — 4. Οὐκ ἔφη = *negavit.* — 5. Le génitif est souvent employé au sens de : *fils de.*

N. B. — Se reporter sans cesse aux formes de λύω.

θεοῦ ἦν, οὐκ ἦν, **φήσομεν**, αἰσχροκερδής, εἰ δ' αἰσχροκερδής, οὐκ ἦν θεοῦ. »

65. *Version.*

Leçon de sobriété donnée par Socrate.

Σωκράτης εἴ * ποτε κληθεὶς ἐθελήσειεν[1] ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ[2] τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε[3] φυλάξασθαι τὸ ὑπὲρ τὸν κόρον ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. Τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα[4] μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλὰς καὶ ψυχὰς ταῦτ' ἔφη εἶναι. Οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην[5] ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα καὶ ἀποσχόμενον τὸ ὑπὲρ τὸν κόρον τῶν τοιούτων ἅπτεσθαι[6], διὰ ταῦτα οὐ γενέσθαι ὗν. Τοιαῦτα[7] μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων[8].

1. Ἐθελήσειεν, *consentait.* — 2. Ὅ : ce relatif est le conséquent de τοῦτο, et la relative, comme souvent en latin, précède l'antécédent. — 3. Ὥστε et l'inf., *à savoir;* τὸ ὑπὲρ τὸν κόρον ἐμπίπλασθαι forme une locution complément de φυλάξασθαι. — 4. Τὰ πείθοντα, *les choses qui excitent;* ἐσθίειν dépend de ce participe; μὴ πεινῶντας se rapporte à τοὺς ἀνθρώπους sous-entendu. — 5. Dans l'*Odyssée* d'Homère, la déesse Circé change en pourceaux les compagnons d'Ulysse, qui seul résiste aux attraits de la gourmandise. — 6. Ἀποσχόμενον.... τὸ ἅπτεσθαι, *s'étant abstenu de toucher.* — 7. Τοιαῦτα a la valeur d'un adverbe, *ainsi.* — 8. Σπουδάζων, *étant sérieux.*

N. B. — Φασί est souvent pris au sens de *on dit,* avec proposition infinitive subordonnée.

Verbe εἶμι. j'irai. Gr., § 146.

Conjuguer les composés de εἶμι :

1. ἄπ-ειμι, *s'en aller.*
2. εἴσ-ειμι, *s'introduire dans.*
3. ἔξ-ειμι, *sortir de.*
4. ἔπ-ειμι, *aller vers.*
5. μέτ-ειμι, *aller derrière.*
6. πάρ-ειμι, *dépasser.*
7. πρό-ειμι, *s'avancer.*
8. πρόσ-ειμι, *s'approcher.*
9. σύν-ειμι, *aller ensemble.*
10. ὕπ-ειμι, *aller sous.*

66. *Exercice.*

1. Tu t'en allais et ils s'en allaient, ils s'en iront; avance-toi, puisse-t-il s'avancer! — 2. Aller sous, allant derrière (*dat. pl. masc.*), nous dépasserons, qu'il s'introduise dans, tu iras vers. — 3. Étant revenu [1] du camp, j'allais avec plaisir à mes occupations habituelles. — 4. Tous regrettent un ami, quand [2] il s'en va et le reçoivent volontiers à son retour (trad. : revenant). — 5. Comme les chiens lâches poursuivent et mordent **ceux qui passent** [3], mais fuient ceux qui [les] poursuivent, de même les ennemis **viendront derrière** [4] nous, si **nous nous en allons** [4]. —6. Comme personne ne **s'avançait contre** [5]

1. *Étant revenu,* ἐπανελθών. — 2. Ὅταν, subj. — 3. *Ceux qui passent,* tournez : *les passant,* πάρειμι. — 4. *Venir derrière,* μέτειμι, *acc.* — *Si nous nous en allons,* tournez : *nous, nous en allant,* ἄπειμι. — 5. Ἀντ-έξ-ειμι.

N. B. — Ne pas confondre εἰμί, *je suis,* et εἶμι, *j'irai.*

[lui], Agésilas désormais marchait sans crainte. — 7. Il dit qu'il lui est permis désormais **d'entrer**[6] sur la place et [dans] les temples : mais il n'y **entrera** plus. — 8. Je vois **s'avancer**[7] contre nous des adversaires, contre qui, si[8] nous manœuvrons ainsi, nous ne pourrons pas combattre. — 9. Le froid était terrible et les soldats ou ne **sortant** pas ou, s'ils[9] **sortaient**, se couvrant[10] de la tête aux pieds, Socrate **sortait** ayant toujours le même manteau. — 10. « Socrate, si[11] j'avais encore la force de me rendre facilement à la ville, tu n'aurais[12] pas à **venir**[13] ici, **nous irions**[13] vers toi, mais maintenant, **il faut que tu viennes**[13] ici plus souvent. »

6. Εἴσειμι. — 7. Tournez : *s'avançant contre*, πρόσειμι et le dat. — 8. *Si*, ἐάν et le subj. — 9. *Si*, εἰ et l'opt. — 10. *Se couvrant*, part. parf. pass. de ἀμφιέννυμι. — 11. *Si*, εἰ et l'impf. — 12. Imparfait avec ἄν. — 13. Employer εἶμι.

67. *Version.*

1. Ἄπει, ἀπιούσης, ἄπιθι, ἀπιόντων (*2 sens*), ἀπίωμεν, ἀπῄει, ἀπίοις, ἀπιέναι. — Εἰσῄσαν, συνιοῦσι, ἐπίασι, ἐξίωμεν, ὑπῄεισθα, προιέναι, μέτιμεν, πάρεισι. — Οἱ Λυσιτανοὶ παιᾶνας ᾄδουσι, ὅταν[2] ἐν μάχῃ **ἐπίωσι** τοῖς πολεμίοις. — 2. Λέγει ὁ Πλούταρχος· « Φασὶ Δημοσθένη κατάγειον μὲν οἰκοδομῆσαι μελετήριον (ὃ δὴ διεσῴζετο καὶ καθ' ἡμᾶς)· ἐνταῦθα δὲ πάντως ἑκάστης ἡμέρας **προσιόντα** πλάττειν τὴν ὑπόκρισιν καὶ διαπονεῖν τὴν φωνήν. » — 3. Οἱ Λυδοὶ λέγουσιν ἐπὶ[4] Ἄτυος σιτοδείαν ἰσχυρὰν ἀνὰ τὴν

1. *Les Lusitaniens* (Portugal). — 2. Ὅταν et le subj., *toutes les fois que*. — 3. Φασί, *on dit*. — 4. Ἐπί, *sous le règne de*.

N. B. — Conjuguer ainsi le verbe *aller* : *pr.* ἔρχομαι, *impf.* ᾖα, *f.* εἶμι, *aor. 2* ἦλθον, *pf.* ἐλήλυθα. Cf. v. irréguliers.

Λυδίαν πᾶσαν γενέσθαι, λαχόντας δὲ αὐτῶν πολλοὺς **ἐξιέναι**[5] ἐκ τῆς χώρας ἀποπλεῦσαι κατὰ βίου τε καὶ γῆς ζήτησιν. — 4. Οἱ δελφῖνες ἀνασκιρτῶντες χειμῶνα **ἐπιόντα** μηνύουσιν. — 5. Πρῶτον τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων **δίειμι**· ἄξιον γάρ ἐστι κἀκείνων[6] μεμνῆσθαι. — 6. Τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε[7] μηδένα δύνασθαι **προσιέναι**. — 7. Διαλυομένου τοῦ ἀνθρωπίνου σώματος, δῆλά ἐστιν ἅπαντα[8] **ἀπιόντα**[9] πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη, οὔτε παροῦσα, οὔτε **ἀπιοῦσα**, ὁρᾶται. — 8. Ὡς εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους τοὺς Πέρσας, αὖθις παιανίσαντες **ἐπῇσαν** πολὺ ἔτι προθυμότερον ἢ τὸ πρόσθεν.[10]

9. Γῆς ἐπέβην γυμνός, γυμνὸς δ' ὑπὸ γαῖαν **ἄπειμι**.
Καὶ τί μάτην μοχθῶ;

5. Ἐξιέναι dépend de λαχόντας (*désignés par le sort pour*). — 6. Κἀκείνων, crase pour : καὶ ἐκείνων. — 7. Οὕτω... ὥστε : *impf., tellement... que.* — 8. Ἅπαντα, *tous les éléments* (*du corps*). — 9. Δῆλά ἐστι et le participe, tour équivalant à : *il est évident que.* — 10. Τὸ πρόσθεν, *la première fois.*

68. *Version.*

La colombe et la fourmi.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγήν, συρεὶς ὑπὸ τοῦ ῥεύματος, ἀπεπνίγετο. Περιστερὰ δέ, τοῦτο θεασαμένη, κλῶνα δένδρου ἑλοῦσα, εἰς τὴν πηγὴν ἔρριψεν· ἐφ' οὗ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς[2] δέ τις μετὰ τοῦτο, τοὺς καλάμους συνθείς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ μύρμηξ ἑορακὼς τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔρριψε καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν[3].

1. Ὑπό, *par l'effet de.* — 2. Ἰξευτής, *oiseleur :* de ἰξός, *glu.* — 3. Cf La Fontaine, II, 12.

Verbe οἶδα. Gr., § 147.

69. *Exercice.*

Conjuguer sur οἶδα : σύνοιδα, *avoir conscience.*

1. Avoir conscience, j'avais et vous aviez conscience, à ceux qui ont conscience (τοῖς *et part.*), ayez conscience, puisses-tu avoir conscience! que nous ayons conscience, ils auront conscience, nous avons conscience, devoir avoir conscience. — Savoir le bien est quelque chose; mais le faire est mieux. — 2. Les rois seraient moins orgueilleux, s'ils [1] voulaient plus souvent avoir conscience qu'ils sont mortels [2]. — 3. Sachez, Athéniens, que Philippe est l'ennemi irréconciliable de votre démocratie; si vous saviez [1] cela nettement, vous comprendriez [1] que tout ce qu'il prépare, [c'est] contre notre cité [qu'] il [le] prépare. — 4. Quand [3] tu auras acquis une plus grande expérience des hommes, tu auras conscience d'avoir été souvent trompé [4] par des flatteurs. — 5. Ces Barbares ont ravagé votre pays : cela, vous [le] savez; et comment ne sauriez-vous pas qu'ils sont cruels et faux, qu'ils ne respectent pas les traités? Or, sachant que, s'ils avaient été vainqueurs, ils vous eussent asservis, vous écoutez leurs plaintes et vous voulez leur prêter de l'argent! — 6. Donne tes conseils à ceux qui ne savent rien [5]; mais écoute donc plus modestement celle qui sait plus de choses [6] que toi!

1. Cf. εἰ 2°. — 2. Tourner : *avoir conscience étant mortels*. — 3. Ὅταν, et subj. aor. — 4. Tournez : *ayant été trompé*. — 5. Tournez : *aux ne sachant rien* (μηδέν). — 6. Tournez : *la sachant de plus nombreuses choses.*

N. B. — Ne pas confondre les formes des imparfaits dans les trois verbes *être, aller* et *savoir.*

70. *Version.*

1. Συνείσεσθαι, σύνισμεν, σύνιστε (*2 sens*), συνειδῶμεν, συνειδώς, συνῄδησθα, συνεισομένη, συνῇσαν. — 2. Ὁ μὴ **εἰδὼς** σιωπᾶν οὐκ οἶδε διαλέγεσθαι. — 3. Ἡράκλειτος[1], νέος ὤν, πάντων ἐγένετο σοφώτερος, ὅτι **ᾔδει** ἑαυτὸν μηδὲν **εἰδότα**. — 4. Ὁ μὴ ταῦτ' **εἰδὼς** μηδ' ἐξητακὼς πόρρωθεν ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν οὔτ' εἰ πλούσιος, οὐδὲν[2] μᾶλλον ἔμελλεν ὅ τι χρὴ ποιεῖν **εἴσεσθαι** οὐδ' ὑμῖν ἕξειν[3] συμβουλεύειν. — 5. Δημοσθένης πρὸς κλέπτην εἰπόντα· « Οὐκ ᾔδη ὅτι σόν ἐστιν[4] » ἀπέκρινατο· « Ὅτι γε σὸν οὐκ ἔστιν **ᾔδησθα**. » — 6. Οἱ ἐν δημοκρατίᾳ ἄρχοντες πολλῶν[5] καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες· οἱ δὲ μοναρχοῦντες οὐδενὸς ὀλιγωροῦσιν, **εἰδότες** ὅτι πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι. — 7. Ἥκουσι πάντες οἱ τὰ τῆς πόλεως πράττοντες οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ' **εἰσόμενοι** ἥντινα ὑμεῖς γνώμην περὶ τῶν ἀδικούντων ἕξετε, ὦ ἄνδρες δικασταί. — 8. Οὐχ οὗτοι ἄκριτοί[6] εἰσι περὶ ὧν ἂν ὑμεῖς **εἰδότες** τὰ πραχθέντα ψηφίσησθε[7], ἀλλ' οἵτινες ἂν ὑπὸ τῶν ἐχθρῶν διαβληθέντες περὶ ὧν[8] ὑμεῖς μὴ **ἴστε**, ἀκροάσεως μὴ τύχωσι[9]. — 9. **Ἴσθι** τοῦθ' ὅτι οἱ γέροντες ἀδίκως τὸ γῆρας αἰτιῶνται· οὐ γὰρ τὸ γῆρας, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων ἐστὶν ἐπίπονος. — 10. Εἴθε μήποτ' **εἰδείης** τίνες σ' ἔφυσαν γονεῖς.

1. *Héraclite*, philosophe. — 2. Οὐδέν, *en rien*. — 3. Ἔχω, et l'infinitif, *pouvoir*. — 4. Σόν attribut, le suj. s.-ent. étant : *la chose*. — 5. Πολλῶν et οὐδενός sont au neutre. — 6. Ἄκριτοι, *sans jugement* (*sans juges*). — 7. Ἂν ψηφίσησθε, *vous votez* (*vous, juges*). — 8. Περὶ ὧν = περὶ τούτων ἅ. — 9. Ἂν... μὴ τύχωσι, *n'obtiennent pas*.

N. B. — Se rappeler que c'est la particule ἄν qui donne, en général, au verbe le sens conditionnel.

11. Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ[10] κακῶς
χρεία 'στὶν[11] ἰατροῦ· τῷ δὲ τὴν ψυχήν[12], φίλου.
Λύπην γὰρ εὔνους **οἶδε** θεραπεύειν λόγος.

10. Διατέθειμαι, *être disposé.* — 11. 'Στίν = ἐστίν. — 12. Devant l'accusatif, s.-entendre : διατεθειμένῳ κακῶς, et devant le génitif : χρεία ἐστίν.

71. *Version.*

Le pays de la soif.

Οἱ Ἄραβες κατὰ τὴν ἄνυδρον χώραν κατασκευάζουσιν εὔκαιρα φρέατα... Αὐτοὶ μὲν γὰρ εἰδότες τὰ κεκρυμμένα τῶν ὑδάτων καὶ ταῦτ' ἀνοίγοντες, χρῶνται δαψιλέσι πότοις· οἱ δὲ τούτους ἐπιδιώκοντες ἀλλοεθνεῖς[1], σπανίζοντες τῆς ὑδρείας διὰ τὴν ἄγνοιαν τῶν φρεάτων, οἱ μὲν ἀπόλλυνται διὰ τὴν σπάνιν τῶν ὑδάτων, οἱ δὲ πολλὰ κακοπαθήσαντες[2] μόλις εἰς τὴν οἰκείαν[3] σῴζονται.

1. Ἀλλοεθνής, *étranger.* — 2. Κακοπαθέω, *souffrir des maux.* — 3. S.-ent. γῆν.



Cl. Hatier.

L'OISEAU D'ATHÉNA.
(Céramique du Louvre).



Cl. Boissonnas.

LE DÉFILÉ DES THERMOPYLES.

C'est là que résista héroïquement Léonidas pendant la deuxième guerre médique. La mer était alors beaucoup plus proche et ne laissait qu'un très étroit passage au pied de la montagne.

VERBES IRRÉGULIERS

On consultera dans la **Grammaire** *la liste des verbes irréguliers les plus usuels*, *et on consultera aussi le* **Dictionnaire.**

72. *Exercice.*

1. Tu conduiras [1], ils emmenèrent avec eux [2], conduis (*imp. aor.*); avoir pris [3], prenez (*imp. aor*), ils furent pris; nous lèverons [4], levez (*imp. aor.*); nous nous sommes aperçus [5], avoir fini de s'apercevoir; nous entendrons [6], écoutez (*imp. aor.*), avoir fini d'écouter, ils furent écoutés. — 2. Tu seras pris [7], sois

1. ἄγω. — 2. ἄγομαι, *moy.* — 3. αἱρέω. — 4. αἴρω. — 5. αἰσθάνομαι. — 6. ἀκούω. — 7. ἁλίσκομαι.

pris (*imp. aor.*), avoir été pris; tu te trompas[8]; ils détruisirent[9], il périt; vous fûtes odieux [10], avoir fini d'être odieux; ils détruiront[11], vous avez détruit; vous périrez[12], ils ont péri, nous sommes morts, être mort, les morts. — 3. Tu arrivas[13]; marche[14] (*imp. aor.*); il jeta[15], avoir jeté, ayant jeté (*dat. pl. masc.*), ils furent jetés; jette pour toi (*imp. aor.*); avoir vécu[16], ils vécurent, que nous ayons vécu, ayant vécu (*nom. m. sg.*) — 4. Nous avons voulu[17]; ils sont devenus[18] (*aor. et pf.*); nous connaîtrons, nous serons connus[19]; craignant[20] (*nom. pl. masc. part. pf.*); avoir enseigné[21], avoir fini d'être instruit. — 5. Tu **deviendras** immortel; désormais tu **mangeras** l'ambroisie et tu **boiras** le nectar. — 6. Certains ont annoncé que[22] le combat **avait été**[23] acharné et que beaucoup des citoyens connus **étaient**[23] **morts**. — 7. Il ne m'échappe[24] pas qu'[25] il est difficile, **étant venu**[25] le dernier, de parler sur les sujets depuis longtemps **exploités**[27]. — 8. J'estime que[28] tout ce que tu **as passé en revue a été bien dit**[29]. — 9. Cyaxare **ayant pris** avec lui quelques-uns des chevaux et des hommes bien portants **se mit en marche**. — 10. Comme tous les dangers portaient sur eux, les cavaliers se replièrent; les uns d'[entre] eux **tombèrent** immédiatement dans le fleuve, les autres **s'enfuirent**.

8. ἁμαρτάνω. — 9. ἀναλίσκω. — 10. ἀπεχθάνομαι. — 11. ἀπόλλυμι. — 12. ἀπόλλυμαι, *moy*. — 13. ἀφικνέομαι. — 14. βαίνω. — 15. βάλλω. — 16. ζάω. — 17. βούλομαι. — 18. γίγνομαι. — 19. γιγνώσκω. — 20. δείδω. — 21. διδάσκω. — 22. Prop. inf. — 23. Employer l'inf. parf. de γίγνομαι et de θνήσκω. — 24. Employer le parf. de λανθάνω. (cf. *non me fugit*). — 25. Ὅτι. — 26. Part. aor. de ἐπέρχομαι, à l'acc. — 27. Part. pf. pass. de προκαταλαμβάνω. — 28. Prop. inf. — 29. Employer le parfait.

N. B. — Plus que jamais, vérifier prudemment les temps primitifs.

73. *Version.*

1. Il semblera[1], avoir semblé (*inf. pf.*); ils purent[2], avoir pu; tu laissais[5], nous laissâmes; nous pousserons, avoir été poussé; tu iras[3], vous êtes allés, avoir fini d'aller, ayant fini d'aller (*dat. pl. masc.*); tu mangeras[6], tu as mangé, avoir fini de manger; vous trouvâtes[7], avoir trouvé, nous avons fini de trouver; ayez[8] (*imp. aor.*), ayant (*dat. pl. masc.*); nous mourrons[9], les morts (*nom. pl. aor. et pf.*); purifiez[10] (*imp. aor.*), avoir purifié; ils furent brûlés[11]. — 2. Avoir appelé[12], avoir été appelé; vous serez fatigués[13]; nous pleurons[14] et vous pleurerez; ayant obtenu du sort[14] (*gén. pl. m. aor. et parf.*); ils furent cachés[15], être caché (*inf. pf.*); tu as cueilli, qu'ils soient cueillis (*imp. aor.*) avoir fini d'être cueilli. — 3. Nous dirons[17], avoir dit, ils furent dits; que vous laissiez[3] (*subj. aor.*), avoir laissé (*inf. pf.*); vous avez appris[18], reste[19] (*imp. aor.*); ils crurent[20] et tu croyais; jurez[21] (*imp. aor.*); tu vis[22] et tu fus vu, avoir fini d'être vu (2 *formes*). — 4. Avoir été en dette[23]; tu souffriras[24], ayant souffert (*dat. pl. masc.*); nous avons obéi[25], vous avez confiance; avoir envoyé[26], avoir fini d'envoyer; ayant pris[27] (*nom. m. pl. aor. et pf.*), nous prendrons, vous serez pris. — 5. Si[28] vous voulez **perdre**[29] ceux que ces tyrans **ont laissés vivre**[30], aucun des citoyens ne **restera**[31]. —

1. δοκέω. — 2. δύναμαι. — 3. λείπω. — 4. ἐλαύνω. — 5. ἔρχομαι. — 6. ἐσθίω. — 7. εὑρίσκω. — 8. ἔχω. — 9. θνήσκω. — 10. καθαίρω. — 11. καίω. — 12. καλέω. — 13 κάμνω. — 13. κλαίω. — 14. λαγχάνω. — 15. λανθάνω. — 16. λέγω[1]. — 17. λέγω[2]. — 18. μανθάνω. — 19. μένω. — 20. οἴομαι. — 21. ὄμνυμι. — 22. δράω. — 23. ὀφλισκάνω. — 24. πάσχω. — 25. πείθω. — 26. πέμπω. — 27. λαμβάνω. — 28. Εἰ et indic. — 29. ἀπόλλυμι (inf. aor.). — 30. *Laisser vivre,* παραλείπω. — 31. Passif de ὑπολείπω.

N. B. — Ne pas employer le parfait pour l'aoriste.

6. Je puis louer notre ville, parce qu'ayant **rencontré** de tels rivaux, elle l'a **emporté** sur eux. — 7. Vous **avez perdu**[29] vos propres biens, et finalement vous **avez** tous **été chassés**[32] par les Trente. — 8. Une grande pluie **étant survenue**, avec un tremblement de terre, on dit que le sol se **fendit**[33] et qu'une crevasse se **forma** à l'endroit où le berger menait son troupeau. — 9. On **élit** un roi, non pour qu'il s'occupe bien de lui-même, mais pour que **ceux qui l'ont** élu[34] soient heureux grâce à lui.

32. ἐξ-ελαύνω. — 33. Passif de ῥήγνυμι. — 34. Tourner par le part.

74. *Exercice.*

1. Ils boiront[1], nous avons bu, avoir fini de boire, ils furent bus; être tombé[2] (*inf. aor et pf.*); avoir navigué[3], soufflé, agi; il apprendra[4], apprenez (*imp. aor*); ils furent envoyés[5], tends (*imp. aor.*), qu'il soit achevé[6] (*imp. aor.*). — 2. Nous coupions[7], nous avons coupé, avoir enfanté[8] (*aor*), ayant enfanté (*n. f. pl.*); avoir blessé[9], tourné[10], nourri[11], couru[12]. — 3. Ils rencontreront[13], puisses-tu rencontrer (*opt. pr. et aor.*)! promets[14] (*imp. aor.*), avoir fini de promettre; il montrera[15], nous paraîtrons (2 *formes*), ayant paru (*dat. pl. masc.*), avoir fini de paraître (2 *formes*). — 4. Emporte pour toi « (*imp. aor.*), avoir porté, ayant été portées (*acc.*); avoir fui[17] (*inf. aor. et pf.*); ils seront détruits[18] (2 *formes*), avoir détruit et avoir été détruit. — 5. Ils produisirent, être par nature,

1. πίνω. — 2. πίπτω. — 3. πλέω. — 4. μανθάνω. — 5. πέμπω. — 6. τελέω. — 7. τέμνω. — 8. τίκτω. — 9. τιτρώσκω. — 10. τρέπω. — 11. τρέφω. — 12. τρέχω. — 13. τυγχάνω. — 14. ὑπισχνέομαι. — 15. φαίνω. — 16. φέρω. — 17. φεύγω. — 18. φθείρω. — 19. φύω.

N. B. — La syntaxe grecque a bien des analogies avec la syntaxe latine.

étant par nature (*acc. m. pl.*), réjouissez-vous[20] (*imp. aor*); qu'il verse[21] (*imp. aor.*), ils versent et vous verserez; falloir[12].

6. Si ces soldats, qui sont morts[23] pour la patrie, n'**ont** pas participé[24] à une vieillesse mortelle, du moins ils **ont acquis**[25] une gloire qui ne vieillit pas et **ils sont**[26] maintenant bienheureux à tous égards. — 7. Afin que vous sachiez comme de nombreux [citoyens] ont **péri**[27] par son fait, je veux **lire**[28] leurs noms. — 8. Socrate resta debout[29] jusqu'au moment où l'aube parut[30] et le soleil se leva; il **partit**[31] ensuite, après avoir prié[32] le soleil. — 9. **A la vertu** et à la bonne renommée ils ne **préféreraient**[33] même certes pas toutes les richesses des Syriens et des Assyriens. — 10. J'estime que ceux-là sont[34] dignes des plus grands éloges, qui ont risqué leur vie pour le salut de la Grèce — 11. L'épidémie **envahit**[35] pour la seconde fois l'Attique : elle n'avait jamais **cessé**[36] complètement, mais cependant il **y avait eu**[37] quelque trêve. — 12. **Rappelez-vous**[38] les serments que vous **avez jurés**[39] et les leçons qui vous **ont été enseignées**; ainsi, quelques[40] obstacles que **vous ayez rencontrés**[41], quelque rang que **vous ayez obtenu**[41] du **sort**[42], vous **vous montrerez**[42] dignes de ceux qui vous ont nourris[43].

20. χαίρω. — 21. χέω. — 22. χρή. — 23. θνήσκω, *parf.* — 24. μετέχω *aor. gén.* — 25. λαμβάνω, *parf.* — 26. γίγνομαι, *parf.* — 27. ἀπ-όλλυμαι. — 28. ἀναγιγνώσκω, *aor.* — 29. Employer le pl.-q.-pf. de ἵστημι. — 30. Employer l'indicatif. — 31. οἴχομαι. — 32. προσ-εύχομαι, *dat.* — 33. προαιρέομαι : *opt. aor.* avec ἄν. — 34. *Parf. de* γίγνομαι. — 35. ἐπιπίπτω, *dat.* — 36. ἐπι-λείπω. — 37. γίγνομαι. — 38. μιμνήσκω, *imp. aor.* — 39. ὄμνυμι. — 40. *Quelque.. que.* — ὅστις ἄν et le *subj. aor.* — 41. λαγχάνω. — 42. φαίνομαι. — 43. τρέφω.

N. B. — Pour un aoriste 2 en ον, se reporter toujours au type ἔλιπον.

75. *Version.*

1. Πέμψον, πεπόμφατε — δεδόχθαι, πεποίθαμεν, δυνηθῶ, εἴασας, ἐάσας, — πείσει (*2 mots différents*), παθεῖν, πεπονθότες, πάθοιεν. — 2. Ἐλᾶτε, ἐλῶντες, — ἐλθέτω, ἐλθουσῶν, ἐληλύθαμεν — φάγε, εὑρέτω, — ἐπίσχοι, ἐσχῆσθαι — θανούμεθα, θάνοι — ὤφλετε, ὀφλών — ἴδω, εἴδομεν, ὀφθῆναι, ὠμμένοι, ἰδόντες. — 3. Ὤου, μείνας, μαθοῦσα — καθῆραι, καυθήσει, κληθεῖσαι, — λελοιπέναι, λειφθεῖσι, ἐπιλιπέτω. — 4. Ἐκάμομεν, καμεῖσθε, κεκμηκότες — κλαῦσον, λήξεσθαι, εἰληχότι — λαθόν, λελήθασι — ἔλεξε, εἶπον, εἰπόν, ἐλέγησαν, ῥηθῆναι, λεγήσεσθαι, ῥηθήσεσθαι, εἰρῆσθαι, λεχθήτω, ἐροῦμεν — λαβουσῶν, λαβέ, ἐξειλῆφαι. — 5. Μετὰ τὸν Αἰνείου θάνατον, Ἀσκάνιος τὴν βασιλείαν **παρέλαβεν.** — 6. Νέος ὢν ὁ Πλάτων οὕτως ἦν αἰδήμων καὶ κόσμιος, ὥστε[1] μηδέποτε **ὀφθῆναι** γελῶν ὑπεράγαν. — 7. Οἱ ἄνθρωποι οὐδὲ τὸν ἀέρα τοῖς ὄρνισιν **εἴασαν** ἐλεύθερον. — 8. Ἐὰν[2] τὰ **παρεληλυθότα** μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσει. — 9. Εἰς τοῦτό[3] τινες ἀνοίας **ἐληλύθασιν,** ὥσθ' **ὑπειλήφασι** τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δέ, τὴν δὲ δικαιοσύνην εὐδόκιμον μέν, ἀλυσιτελῆ δέ. — 10. Περικλῆς τοὺς ἐν Σάμῳ **τεθνηκότας** ἐγκωμιάζων ἐπὶ τοῦ βήματος, ἀθανάτους ἔλεγεν αὐτοὺς **γεγονέναι,** καθάπερ τοὺς θεούς. — 11. Μηδέποτε αἰσχρόν τι ποιήσας ἔλπιζε **λήσειν·** καὶ γὰρ ἂν[4] τοὺς ἄλλους **λάθῃς,** σαυτῷ γε συνείσει. — 12. Δαναός, ἐξ Αἰγύπτου **φυγών,** Ἄργος **κατέσ-**

1. Οὕτως... ὥστε (*inf.*), *tellement que*.. — 2. Ἐάν (subj.), *si*. — 3. Εἰς τοῦτο... ὥστε, *à un tel point... que*. — 4. Ἄν = ἐάν, *si* (subj.).

N. B. — Il faut repasser sans cesse le verbe λύω.

χεν. — 13. Ἐμπεδοκλῆς τὴν τῶν Ἀκραγαντίνων τρυφὴν **ἰδὼν** ἔλεγεν· « Ἀκραγαντῖνοι τρυφῶσι μὲν ὡς αὔριον **ἀποθανούμενοι,** οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον **βιωσόμενοι.**

76. *Version.*

1. Τρέψαι, θρέψαι, τέτροφε (*2 sens*), ἐτράπη, ἐτράφη — τρωσάτω, δραμών, τεκοῦσαν, τεύξεσθε, ὑποσχοῦ, τμηθῇ, φανήσεσθαι, φανέντων (*2 sens*), πεφῆναι. — 2. Τέλεσον, τεῖναι, ἐστάλητε — οἴσεις, ἐνηνέχθαι, ἐνέγκω, ἐνεγκοῦσα, οἰσθησόμενοι — φυγεῖν, πεφευγότι — φθῆναι. — 3. Πυθοίμεθα, κακῶς πεπραγότες, πνεῦσον, πλεύσει, πίει, πιεῖν, φθαρέντα (*2 sens*), ἐφθάρθαι, ἐχαίρομεν, χαρεῖτε, χαρῆναι. — 4. Ἔχεας, ἐχύθη, χρῆναι — πεσεῖσθε, πεσεῖν, πεπτωκυῖα — πυθοῦ, πέπυσται, πευσόμεθα — τενεῖν, τελεσθήσεσθαι, τελεσάτω, τελέσαι, τελέσαιο, τετελέσει, τετελεσμένα ἐστί. — 5. Ὃ μέλλεις πράττειν μὴ πρόλεγε· **ἀποτυχὼν** γὰρ γελασθήσει. — 6. Κρεῖττον[1] εἰς κόρακας ἢ εἰς κόλακας **ἐμπεσεῖν·** οἱ μὲν γὰρ νεκρούς, οἱ δὲ ζῶντας ἐσθίουσιν. — 7. Ἡρακλῆς **τυχὼν** ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην γυναῖκα **ἠγάγετο.** — 8. Δίκαια δράσας συμμάχου **τεύξει** θεοῦ. — 9. Ἀνὴρ σοφὸς τὰς ἐν βίῳ συμφορὰς ῥᾷον **οἴσει** τῶν ἄλλων. — 10. Θαρρεῖν χρὴ περὶ τῇ αὑτοῦ ψυχῇ τὸν ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα **εἴασε** χαίρειν, τὰς δὲ περὶ τὸ μανθάνειν

1. S.-ent. ἐστί.

N. B. — Au tour latin **dicitur** correspond λέγεται, *on dit*, avec la proposition infinitive.

ἐσπούδασε. — 11. Τῶν πολεμίων τινὲς **αἰσθόμενοι** πάλιν **ἔδραμον** ἐπὶ τὸν ποταμὸν καὶ τοξεύοντες ὀλίγους **ἔτρωσαν**. — 12. Σωκράτης εἶπεν Ἀντιφῶντι τῷ σοφιστῇ. « Δοκεῖς μοι **ὑπειληφέναι** με οὕτως ἀνιαρῶς ζῆν ὥστε[2] πέπεισμαί σε μᾶλλον **ἀποθανεῖν** ἂν **ἑλέσθαι**[3] ἢ ζῆν ὥσπερ ἐγώ. Ἴθι οὖν, ἐπισκεψώμεθα τί χαλεπὸν **ᾔσθησαι** τοὐμοῦ[4] βίου. »

2. Οὕτως... ὥστε, ind., *à tel point que.* — 3. Σὲ ἂν ἑλέσθαι, *que tu préférerais.* — 4. Τοὐμοῦ = τοῦ ἐμοῦ.

77. *Version.*

1. Ἀγαγόμενος, ἀχθήτω — ᾑρηκέναι, ἑλεῖν, ἑλόντες — δεδιότες, ἐγνῶσθαι — ἆρον, ἆραι — γενοῦ, γένοιτο, γενέσθαι, γεγονόσι — ᾐσθῆσθαι, αἰσθοῦ. — 2. Ἀκηκόασι, ἁλώτω, ἁμαρτεῖν, ἀναλῶσαι — ἀπήχθοντο, ἀπεχθοῦ — βιούς, βιῶναι — βουληθῆναι, βουληθέντες. — 3. Βαλεῖ (*2 sens*), βαλέσθαι, βαλούσαις, βάλε, βάλοιτο ἄν — ἔβησαν, βάντες, βάντων (*2 sens*), ἀφίκοντο, ἀφικόμενοι, ἀφῖχθαι. — 4. Ἀπολεῖ (*2 sens*), ἀπόλοιο, ἀπολέσαι, ἀπολωλότες, ἀπολωλεκέναι, ἀπολέσθαι, ἀπολλυσθαι — ἐδίδαξε, διδαχθέντων (*2 sens*). — 5. Οἱ Ἡρακλέους ἔκγονοι **κατῆλθον** εἰς τὴν Πελοπόννησον. — 6. Διονύσιος ὁ τύραννος **τὸ** Ἀπόλλωνος ἄγαλμα ἐσύλησε καὶ αὐτῷ χρυσοῦς βοστρύχους **ἀφεῖλεν**. — 7. Παλαιὸς μῦθος λέγει τοὺς Μυρμιδόνας ἐκ μυρμήκων ἄνδρας **γεγονέναι**. — 8. Ἀχιλλεὺς οὐχ **εἵλετο** ἀθάνατος εἶναι ἀργὸς ὢν καὶ μηδὲν χρώμενος τῇ ἀρετῇ. — 9. Πύρρος, ἐπεὶ **συμβαλὼν** τοῖς Ῥωμαίοις δὶς ἐνίκησε, πολλοὺς

N. B. — L'accent est constamment d'un grand secours pour reconnaître les formes des verbes.

τῶν φίλων καὶ ἡγεμόνων **ἀπολέσας**, « [1]Ἂν ἔτι μίαν, ἔφη, μάχην νικήσωμεν, **ἀπολώλαμεν**. — 10. Ἐν τούτῳ[2] πάντων εὐτυχέστατός ἐστι πένης ἀνήρ, ὅτι τὴν εἰς τὸ χεῖρον μεταβολὴν οὐ **δέδιε**. — 11. Οἱ στρατηγοὶ **συνῆλθον**, καὶ **συναγαγόντες** τοὺς **ἑαλωκότας** ἤλεγχον τίς εἴη[3] ἡ κύκλῳ πᾶσα χώρα.

1. Ἂν = ἐάν, *si* (subj.). — 2. Ἐν τούτῳ sert d'antécédent à ὅτι (*in hac re... quod*). — 3. Εἴη, *était*.

78. *Version.*

1. Ὁ Περικλῆς, ἐν τῷ λοιμῷ τοὺς παῖδας **ἀποβαλών**, ἀνδρειότατα τὸν θάνατον αὐτῶν **ἤνεγκεν**. — 2. Φρίξος, **μαθὼν** ὅτι ὁ πατὴρ αὐτὸν μέλλει θύειν, **λαβὼν** τὴν ἀδελφὴν καὶ ἀναβὰς σὺν αὐτῇ ἐπὶ κριόν, διὰ τῆς θαλάττης **ἀφίκετο** εἰς τὸν Εὔξεινον πόντον. — 3. Γεωργός τις, ἐν χειμῶνος ὥρᾳ, ὄφιν **εὑρὼν** ὑπὸ κρύους πεπηγότα, τοῦτον **λαβὼν** ὑπὸ κόλπου κατέθετο. Θερμανθεὶς δ' ἐκεῖνος καὶ **ἀναλαβὼν** τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην. — 4. Ἀγησίλαος, φιλοτεκνότατος ὢν διαφερόντως, συνέπαιζέ ποτε οἴκοι μικροῖς τοῖς παιδίοις, κάλαμον, ὥσπερ ἵππον **ἐπιβεβηκώς**· **ὀφθεὶς** δ' ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν πρὶν ἂν[1] καὶ αὐτὸς πατὴρ παίδων **γένηται**. — 5. Ἀκρίσιος τὴν ἑαυτοῦ θυγατέρα Δανάην μετὰ τοῦ παιδὸς Περσέως ἐν λάρνακι εἰς θάλατταν ἔρριψεν· ἡ δὲ λάρναξ **προσηνέχθη** Σερίφῳ τῇ νήσῳ. — 6. Ἅπαντα δόκει ποιεῖν ὡς[2] μηδένα **λήσων**· καὶ γὰρ ἐὰν[4] παραυτίκα κρύψῃς, ὕστερον

1. Πρὶν ἄν, subj., *avant que*. — 2. Ὡς, *comme, en tant que*.

N. B. — Ne pas confondre ἄν particule, et ἄν conjonction (= ἐάν).

ὀφθήσει. — 7. Μαρσύας **εὑρὼν** αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ, **ἦλθεν** εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. — 8. Τὸ κάλλος ἢ χρόνος **ἀνήλωσεν,** ἢ νόσος ἐμάρανεν[3]· ἡ δὲ τῆς ἀρετῆς κτῆσις συγγηράσκει. — 9. Τίς οὐκ οἶδεν οἷα **ἔπαθεν** ὁ Προμηθεύς, διότι καθ' ὑπερβολὴν φιλάνθρωπος ἦν[3]; — 10. Ἡ Σφίγξ, Οἰδιπόδος **εὑρόντος** τὸ αἴνιγμα, ἐκ σκοπέλου ἑαυτὴν ῥίψασα **ἀνεῖλεν.** — 11. Ὁ Λερναῖος ὄφις πεντήκοντα κεφαλὰς **εἶχε,** σῶμα δὲ ἕν· καὶ ὁπότε[5] Ἡρακλῆς **ἀφέλοιτο** κεφαλὴν μίαν, δύο ἀνεφύοντο. — 12. Μηδέποτε ἐπὶ μηδενὸς **εἴπῃς** ὅτι « **ἀπώλεσα** αὐτό », ἀλλ' ὅτι[5] « ἀπέδωκα »· τὸ παιδίον **ἀπέθανεν,** ἀπεδόθη· τὸ χωρίον **ἀφῃρέθη,** οὐκοῦν καὶ τοῦτο ἀπεδόθη.

13. Κάλλιστον[6] τὸ δικαιότατον, ῥᾷστόν θ' ὑγιαίνειν·
ἥδιστον δὲ **τυχεῖν** ὧν[7] τις ἕκαστος ἐρᾷ.

3. Ἐάν (subj.), *si.* — 4. *Aor. d'habitude,* à rendre par le présent. — 5. Ὅποτε, et l'opt., *toutes les fois que.* — 5. Ὅτι n'a pas à être traduit. — 6. S.-ent. ἐστί. — 7. Ὧν = τούτων ἅ.


79. *Version.*

Le soulier de la princesse Rhodopis.

Ῥοδώπιδος[1] λουομένης καὶ τῶν θεραπαινῶν τὴν ἐσθῆτα φυλαττουσῶν, ἀετὸς καταπτάς[2], τὸ ἕτερον τῶν ὑποδημάτων ἁρπάσας,

1. *Rhodopis,* princesse grecque. — 2. Part. aor. 2 de καταπέτομαι.

N. B. — Ne pas oublier que l'augment de l'aoriste n'existe qu'à l'indicatif.


LA GRÈCE MYTHOLOGIQUE
MACÉDOINE
CHALCIDIQUE
Mt Athos
Phlégra
MER DE THRACE
Mt Olympe
VALLÉE DE TEMPÉ
Mt Ossa
ÉPIRE
Mt Pinde
Dodone
Pénée R.
Mt Pélion
Phères
Iolchos
MER ÉGÉE
THESSALIE
PHTHIOTIDE
Œchalie
Mt Oeta
Eubée
Leucas
Acheloüs R.
ÉTOLIE
Céphise R.
Mt Parnasse
Ithaque
Calydon
Delphes
PHOCIDE
Aulis
Chalcis
BÉOTIE
Is Echinades
Evenos
Patras
Golfe de Corinthe
Mt Hélicon
Thèbes
Aphidna
Mt Cithéron
Marathon
ACHAÏE
Eleusis
ATTIQUE
Mt Erymanthe
Mégare
Colone
Athènes
Céphallénie
Mt Cyllène
Corinthe
Pénée
Salamine
Ilissos
Stymphale
Némée
Elide
Mycènes
Ceos
ARCADIE
Pise
Mt Ménale
ARGOLIDE
Epidaure
Egine
Zacynthe
Alphée R.
Argos
Lerne
Tirynthe
Trézène
CYCLADES
MER
Cythnos
MESSÉNIE
Sériphos
Sparte
LACONIE
Pylos
IONIENNE
Milo
Ténare
M. DE CRÈTE
Cythère
0 20 60 Km.

ἀπιὼν ᾤχετο, καὶ ἐκόμισεν εἰς Μέμφιν, δικάζοντος Ψαμμιτίχου[3], καὶ εἰς τὸν κόλπον ἐνέβαλε** τὸ ὑπόδημα. Ὁ δὲ Ψαμμίτιχος, θαυμάσας τοῦ ὑποδήματος τὸν ῥυθμὸν καὶ τὸ πραχθὲν ὑπὸ τοῦ ὄρνιθος, προσέταξεν ἀνὰ πᾶσαν τὴν Αἴγυπτον ἀναζητεῖσθαι τὴν ἄνθρωπον, ἧς τὸ ὑπόδημά ἐστι· καὶ εὑρὼν** γαμετὴν ἠγάγετο**.

3. *Psammétik,* roi d'Égypte.

80. *Version.*

Un miel empoisonné.

Ἐνταῦθα[1] σμήνη πολλὰ ἦν· τῶν δὲ κηρίων[2] ὅσοι ἔφαγον** τῶν στρατιωτῶν πάντες ἄφρονές τε ἐγίγνοντο** καὶ ἤμουν καὶ κάτω διεχώρει αὐτοῖς[3] καὶ ὀρθὸς οὐδεὶς ἐδύνατο** ἵστασθαι, ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδοκότες** σφόδρα μεθύουσιν ἐῴκεσαν[4], οἱ δὲ πολὺ μαινομένοις, οἱ δὲ καὶ ἀποθνῄσκουσιν**. Ἔκειντο δὲ οὕτω πολλοί, ὥσπερ τροπῆς γεγενημένης, καὶ πολλὴ ἦν ἀθυμία. Τῇ δ' ὑστεραίᾳ ἀπέθανε** μὲν οὐδείς, ἀμφὶ[5] δὲ τὴν αὐτήν πως ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας[6].

1. En Colchide. — 2. Τῶν κηρίων, gén. partitif. Ce génitif s'emploie même avec des verbes gouvernant l'accusatif, quand l'action du verbe s'exerce seulement sur une partie de l'objet. Nous disons nous aussi : *manger du pain.* — 3. Κάτω διεχώρει αὐτοῖς, *ils avaient la diarrhée.* — 4. Ἐῴκεσαν**, p.-q.-pf. de εἴκω. — 5. Ἀμφί, *aux environs de.* — 6. Φαρμακοποσίας, *absorption d'un poison :* ils se trouvaient donc dans un état de faiblesse.

N. B. — Le signe** indique les verbes irréguliers.

81. *Version.*

Un stoïcien optimiste.

Ἀπηγγέλθη[1] Ἀγριππίνῳ τῷ Στωικῷ· « Κρίνει ἐν συγκλήτῳ. — Ἀγαθῇ τυχῇ· ἀλλὰ ἦλθεν** ἡ πέμπτη[2] (ταύτῃ δ' εἰώθει γυμνασάμενος ψυχρολουτεῖν), ἀπέλθωμεν** καὶ γυμνασθῶμεν. » Γυμνασαμένῳ λέγει τις αὐτῷ ἐλθών**· « Κατακέκρισαι. — Φυγῇ, φησίν, ἢ θανάτῳ; — Φυγῇ. — Τὰ ὑπάρχοντα τί[3]; — Οὐκ ἀφῃρέθη**. — Εἰς Ἀρίκειαν[4] οὖν ἀπελθόντες** ἀριστήσωμεν. »

1. Ἀπηγγέλθη, impersonnel; à traduire par *on*. — 2. Ἡ πέμπτη, *s.-ent.* ὥρα : ceci se passe à Rome. — 3. Τί, *s.-ent.* γίγνεται. — 4. Ἀρίκειαν, *Aricie,* ville du Latium, sur la voie Appienne, à 16 kilomètres de Rome.

82. *Version.*

Le lion et le renard (*La Fontaine, IV, 14*).

Λέων γηράσας καὶ οὐ δυνάμενος διαρκέσαι αὑτῷ εἰς τροφήν, ἔγνω δεῖν δι' ἐπινοίας[1] τοῦτο πρᾶξαι. Καὶ δὴ ἐν σπηλαίῳ τινὶ κατακλιθεὶς προσεποιεῖτο νοσεῖν. Παραγενόμενα οὖν τὰ ζῷα ἐπισκέψεως χάριν[2] συλλαμβάνων κατήσθιεν. Πολλῶν οὖν ζῴων ἀναλωθέντων, ἀλώπηξ, τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτὸν καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου ἐπυνθάνετο πῶς ἔχει. Τοῦ δ' εἰπόντος « Κακῶς », καὶ τὴν αἰτίαν πυνθανομένου δι'

1. Δι' ἐπινοίας, m. à m. : *au moyen de l'esprit,* c.-à-d. *par une ruse ingénieuse.* — 2. Ἐπισκέψεως χάριν, *en vue de visite.*

N. B. — Οἵ μέν... οἵ δέ (οἵ étant accentué) signifie : *les uns... les autres.*

ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη· « Ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δ' ἐξιόντων. »

83. *Version.*

Caractère des riches.

Οἷοί εἰσιν οἱ πλούσιοι ῥᾴδιον[1] ἰδεῖν ἅπασιν. Ὑβρισταὶ γὰρ γεγόνασι καὶ ὑπερήφανοι, καὶ τρυφεροὶ καὶ σαλάκωνες· εἰκότως δὲ τοῦτο πάσχειν εἰώθασιν· πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων. Ὅθεν καὶ * τὸ[2] Σιμωνίδου[3] εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρός τὴν γυναῖκα τὴν Ἱέρωνος· ἤρετο γὰρ αὐτὴ πότερον γενέσθαι κρεῖττον[1] πλούσιον ἢ σοφόν· πλούσιον εἶπε Σιμωνίδης· τοὺς σοφοὺς γὰρ ἑώρα συνεχῶς ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας.

1. S.-ent., ἐστίν. — 2. Τό, *le mot.* — 3. Le vieux poète Simonide de Céos fut reçu en Sicile par le tyran Hiéron de Syracuse.

84. *Version.*

Les lièvres et les grenouilles (*La Fontaine, II, 14*).

Οἱ λαγωοί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς[1] ἐπισφαλὴς εἴη καὶ δειλίας πλέως· καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων καὶ κυνῶν καὶ ἀετῶν καὶ ἄλλων πολλῶν ἀναλίσκονται· βέλτιον οὖν εἶναι[2] θανεῖν ἅπαξ ἢ διὰ βίου τρέμειν.

1. Ὡς = *en disant combien;* εἴη, *était.* — 2. Εἶναι, s.-ent. *ils disaient :* inf. du discours indirect, comme en latin.

N. B. — Le grec construit l'interrogation indirecte comme si elle était directe.

Τοῦτο τοίνυν κυρώσαντες ὥρμησαν κατὰ ταὐτὸν[3] εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐπεσούμενοι καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις, ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη· « Στῆτε, ἑταῖροι· μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε[4]· ἤδη, ὡς ὁρᾶτε, καὶ* ἡμῶν ἕτερ' ἐστὶ ζῷα δειλότερα. »

3. Κατὰ ταὐτόν (ταὐτόν = τὸ αὐτό), *d'un même mouvement.* — 4. Διαπράξησθε est construit avec deux accusatifs, de la chose et de la personne.


85. *Version.*

Un bon tour de Cléopâtre.

Ἀντώνιος ἐπεὶ[1] ἁλιεύων ποτὲ καὶ δυσαγρῶν[2] ἤχθετο, παρούσης τῆς Κλεοπάτρας, ἐκέλευσε τοὺς ἁλιέας ὑπονηξαμένους κρύφα τῷ ἀγκίστρῳ καθάπτειν ἰχθῦς τῶν πρότερον ἑαλωκότων. Καὶ δὶς ἢ τρὶς ἀνασπάσας οὐκ ἔλαθε τὴν Αἰγυπτίαν. Προσποιουμένη δὲ θαυμάζειν, τοὺς φίλους παρεκάλει τῇ ὑστεραίᾳ γενέσθαι θεατάς. Ἐμβάντων δὲ πολλῶν εἰς τὰς ἁλιάδας, καὶ τοῦ Ἀντωνίου τὴν ὁρμιὰν[3] καθέντος, ἐκέλευσέ τινα τῶν αὐτῆς, φθάντα καὶ προσνηξάμενον, τῷ ἀγκίστρῳ πεῖραι πόντιον τάριχος. Ἐπεὶ[4] δ' ἔχειν[5] πεισθεὶς ὁ Ἀντώνιος ἀνεῖλξε, γέλως πολύς, οἷον[6] εἰκός[7], ἐγένετο.

1. *Alors que.* — 2. Δυσαγρῶν, *étant malheureux à la pêche.* — 3. *Ligne à pêche.* — 4. Ἐπεί, *quand.* — 5. Ἔχειν, *tenir* (*un poisson*). — 6. *Ainsi que.* — 7. S.-ent. ἐστί.

N. B. — Dans une phrase complexe, chercher avant tout le verbe principal.



L'ACROPOLE DE CORINTHE.
La ville fut détruite par les Romains en 146 av. J.-C.

TROISIÈME PARTIE

Mots invariables.

Les adverbes. Gr., §§ 148-156.

86. *Exercice.*

1. Aie confiance dans les dieux, comme ayant organisé **sagement** et **justement** tout ce monde. — 2. Comporte-toi à l'égard des cités plus petites **ainsi que** tu jugerais bon que les [cités] plus fortes [agissent] à ton égard. — 3. Si[1] tu es obligé de courir des dangers, choisis [de] mourir noblement, **plutôt que** [de] vivre honteusement. — 4. Nul chez nous ne maltraite les serviteurs, **ainsi que** les barbares châtient les hommes libres. — 5. Les satrapes [de] **là-bas**, conservant les mêmes habitudes, sont **injustes**[2] envers leurs amis et **lâches** envers leurs ennemis, **orgueilleux** envers tous. — 6. Il arrive dans un certain village, **où**, la veille, avaient campé[3] les [gens] accompagnant Darius. — 7. J'aime **autant** les fleurs **que** tu aimes les fruits. — 8. **Maintenant** les orateurs ne cherchent plus **comme autrefois** à éclairer leurs concitoyens, **mais** seulement à devenir **quatre ou cinq fois** plus riches. — 9. Astyage voulant que Cyrus, son petit-fils, dînât le **plus agréablement** possible[4], lui faisait servir des sauces et des plats de toutes sortes. — 10. Nous savons tous que les succès vont à[5] ceux qui adminis-

1. Si, ἐάν et le subj. — 2. *Sont injustes* : tourner par ἔχω* et l'adverbe. — 3. *Avaient campé,* employer le pl.-q.-pf. — 4. Cf. ὡς* et le superlatif. — 5. *Aller à,* παραγίγνομαι, *dat.*

N. B. — Pour le comparatif et le superlatif des adverbes, cf. Gr., § 148.

trent le mieux et le plus sagement leur cité. —. 11. Je blâmerais plus justement ceux qui ont un peu avant nous administré la cité. — 12. Pourrait-on trouver une constitution meilleure que la nôtre, qui veille si bien[6] à toutes choses? — 13. Nous pouvons juger que le régime monarchique est d'autant plus doux qu'il est plus aisé [d'] être attentif à la volonté d'un seul que [de] chercher à plaire à des esprits de toutes sortes. — 14. Où es-tu aujourd'hui, mon ami? D'où reviens-tu? Où iras-tu demain? Car tu ne demeures pas longtemps à la maison, mais tu cours partout. Est-ce que tu ne te fatigueras pas un jour de tant de voyages[7]? — 15. De même que, puissant[8] maintenant, tu méprises les autres, de même, déchu, tu seras peut-être insulté plus tard par eux.

6. Tournez : *la veillant à.* 7. Tournez : *voyageant tant.* — 8. Ajouter *étant...*

87. *Version.*

1. Οἱ **πάλαι** Ἀθηναῖοι οὐδὲν **ἀσελγῶς** οὐδ' **ὑπερηφάνως** ἐποίουν· τὴν εὐδαιμονίαν γὰρ ἐδοκίμαζον ἐκ τοῦ **σωφρόνως** ζῆν. — 2. Οἱ **μάλιστα** προσέχοντες τὸν νοῦν καὶ δυνάμενοι θεωρεῖν τὸ συμβαῖνον **ὡς ἐπὶ τὸ πολὺ**[1] **πλειστάκις** εὐπραγοῦσιν. — 3. Σωκράτης εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων τῶν ἀνθρώπων **ἀληθέστατα** καὶ **ἐλευθερώτατα** καὶ **δικαιότατα** εἰπών, καὶ τὴν καταγνῶσιν τοῦ θανάτου **πραότατα** καὶ **ἀνδρωδέστατα** ἐνεγκών. Ὁμολογεῖται γὰρ οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων **κάλλιον** θάνατον ἐνεγκεῖν. — 4. Ἐν πάσαις ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει **ὡς βέλτιστα** τὸ σῶμα ἔχειν*. — 5. « Οἶδα, ἔφη

1. Ὡς ἐπὶ τὸ πολύ, locution adverbiale qu'il faut rattacher à τὸ συμβαῖνον.

N. B. — Tour fréquent : οἱ νῦν Ἕλληνες, *les Grecs d'aujourd'hui.*

τύραννός τις, ὅτι τούτῳ[2] κρίνουσιν οἱ πλεῖστοι **ἥδιον** ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ** αὐτοὶ **ἥδιον** ἂν δειπνῆσαι[3] τὸ ἡμῖν παρατιθέμενον δεῖπνον ἢ τὸ ἑαυτοῖς. » — 6. Ἐκ τοῦ τὰ μὲν Ἑλληνικὰ **πιστῶς**, τὰ δὲ πρὸς τοὺς θεοὺς **εὐσεβῶς**, τὰ δ' ἐν αὐτοῖς **ἴσως** διοικεῖν, οἱ ἡμέτεροι πρόγονοι μεγάλην **εἰκότως** ἐκτήσαντο εὐδαιμονίαν· **νυνὶ** δὲ **πῶς** ἡμῖν τὰ πράγματα ἔχει*; **ἆρα** γε **ὁμοίως** καὶ **παραπλησίως**; — 7. Οἶδα τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ **οὕτως** ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, **ὡς** ἐπὶ τοῖς ἔργοις. — 8. Οὐκ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς **ἔξω** οὔτε τοῖς **ἐνθάδε** διὰ τὰ ἠσεβημένα. — 9. Τούτων δίκαιόν ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ **εὖ** καὶ **κακῶς** δυνήσεσθε πάσχειν. — 10. Εὐμετάβολοί εἰσιν οἱ νέοι, καὶ **σφόδρα** μὲν ἐπιθυμοῦσι, **ταχέως** δὲ παύονται· φιλοχρήματοι δὲ **ἥκιστα**· καὶ ζῶσι **τὰ πλεῖστα** ἐλπίδι. — 11. **Οὗ** πλείστους ἂν εὕροις κόλακας, **ἐνταῦθα** ἡγοῦ ἀπολωλέναι τὴν ἀλήθειαν. — 12. Ὅσαπερ οἱ θεοὶ ἐν ταῖς ὥραις παρέχουσι, ταῦτα πάντα ἐν τῇ Ἀττικῇ **πρωιαίτατα** μὲν ἄρχεται, **ὀψιαίτατα** δὲ λήγει. — 13. **Ὡς** παρεσκεύασεν ὁ Θεὸς τὴν φύσιν τῆς γυναικὸς ἐπὶ τὰ **ἔνδον** ἔργα, οὕτω τὴν τοῦ ἀνδρὸς ἐπὶ τὰ **ἔξω**. — 14. Ποῦ νῦν εἰσιν οἱ κρότοι καὶ οἱ χοροὶ καὶ αἱ θαλίαι καὶ αἱ πανηγύρεις, πάντα ἐκεῖνα οἴχεται. — 15. **Ἆρα μὴ** τὸν Ἀχιλλέα οἴει φροντίσαι θανάτου καὶ κινδύνου; — 16. Πάντων ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, **ἄλλως τε κἂν** ** ὑπ' ἐχθροῦ τοῦτο συμβαίνῃ.

2. Τούτῳ.. ὅτι, *ideo... quia*. — 3. Ἂν δειπνῆσαι, *qu'ils mangeraient*. — 4. Ὅσαπερ, *tous les fruits* (*de la terre*) *que*.

N. B. — Retenir le sens des formules : οὐ μὴν ἀλλά, *cependant* : ἄλλως τε καί, *surtout*.

88. *Version.*

Le renard et le bouc.

Ἀλώπηξ καὶ τράγος διψῶντες εἰς φρέαρ κατέβησαν. Μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη· « Θάρσει, χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. Εἰ γὰρ ὄρθιος σταθεὶς τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν[1] κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν[2] πηδήσασα, καί σε μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν[3]. »

1. Τοὔμπροσθεν, crase pour τὸ ἔμπροσθεν. — 2. Ἐκεῖθεν, *de là,* c.-à-d. *de ton dos.* — 3. Ἐντεῦθεν, *d'ici,* c.-à-d. *du puits.*

89. *Version.*

Paroles d'un chef à ses soldats.

« Ἐντεθύμημαι, ὦ ἄνδρες στρατιῶται, τοῦτο ὅτι ὅποσοι μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ[1] ἀποθνήσκουσιν, ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους καὶ ἕως ἂν[2] ζῶσιν εὐδαιμονέστερον διάγοντας[3]. Ἃ[4] καὶ* ἡμᾶς δεῖ νῦν καταμαθόντας (ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμεν) ἄνδρας ἀγαθοὺς εἶναι. »

1. Ὡς ἐπὶ τὸ πολύ forme une seule locution. — 2. Ἕως ἄν et le subjonctif, *tant que.* — 3. Διάγοντας est employé absolument. — 4. Ἅ est complément de καταμαθόντας.

N. B. — Ne pas confondre ὡς adv., et ὡς conj.

Adverbes négatifs. Gr., §§ 154 et 239-246.

90. *Exercice.*

1. **Ne** t'applique **pas** [1] seulement aux exercices du corps **et ne** néglige pas la santé de ton âme. — 2. **Ne** fais **jamais** ce que tu blâmerais chez les **autres, s'ils le faisaient.** [2] — 3. Je **ne** voudrais **même pas** posséder tous les trésors des rois, s'il[3] me fallait éprouver tous leurs soucis. — 4. **Ne** sois **pas** si curieux de connaître les actions des autres et cherche plutôt à **ne pas** t'ignorer toi-même : le sage **ne** se soucie **pas** de l'opinion du vulgaire. — 5. Que la mort soit sans cesse devant tes yeux, et **jamais**[4] tu **ne** concevras **rien** de bas, **ni ne** désireras **rien** avec excès. — 6. A personne nous n'avons **jamais, ni** nous **ni** notre père, intenté **aucun** procès. — Il **n'est** juste **ni** d'aimer **ni** de haïr **personne** d'après l'aspect extérieur, mais [il est juste de] juger d'après les actions. — 8. **Personne** alors, **même pas** un serviteur, n'eût osé manger ou boire dans un cabaret. — 9. Le philosophe ne peut **en rien** injurier **personne,** car il ne sait **rien** de mal de **personne,** parce qu'il ne se préoccupe de **personne**[6]. — 10. **Tout**[4] devient supportable pour l'homme qui **a** confiance dans les dieux : **jamais en effet il ne** doute **de** leur providence. — 11. Ceux qui ont la plus grande réputation chez les Perses **n'ont même** jamais vécu en bons citoyens, mais passent tout leur temps à maltraiter les autres. — 12. Tiribaze dit qu'il voulait traiter, à condition qu'il[7] **ne** ferait **pas** de mal aux

1. Cf. Gr., § 240 a et 242 b. — 2. Tournez : *chez les autres faisant.* — 3. *Si,* εἰ* [1]. — 4. Employez double négation. — 5. *D'après l'aspect extérieur,* ἀπ' ὄψεως. — 6. Tournez : *par suite du fait de ne se préoccuper* (nég. μή). — 7. *A condition que,* ἐφ' ᾧ et prop. inf. (nég μή); traduire par *ni...ni.*

> N. B. — L'emploi de la négation est une des difficultés du thème grec.

Grecs, et que ceux-ci ne brûleraient pas les maisons. — 13. Tout homme, [en] vieillissant, songe plus souvent que la mort est la loi de tous les hommes.

91. *Version.*

1. Γέλως **μὴ** πολὺς ἔστω, **μηδὲ** ἐπὶ πολλοῖς, **μηδὲ** ἀνειμένος[1]. — 2. Ἃ καὶ * οἱ στρατηγοὶ γιγνώσκουσι πάντες, ταῦτα οἱ μὲν ποιοῦσι, οἱ δ' **οὔ**[2]. — 3. Οἱ βουλομένοι μετὰ λόγου **καὶ μὴ** μετὰ βιάς διαλύσασθαι τὰ[3] πρὸς ἀλλήλους ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τάς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν[4]. — 4. Οἱ Ἀθηναῖοι πολιορκούμενοι ἠπόρουν, **οὔτε** νεῶν **οὔτε** συμμάχων αὐτοῖς ὄντων **οὔτε** σίτου. — 5. Ἔδοξε τοῖς στρατιώταις **μήτε** ἀδικεῖν Παφλαγόνας **μήτε** ἀδικεῖσθαι. — 6. Νομίζω ἔγωγε, ἀπολομένων ἐκείνων[5], **οὐδ'** ἡμῖν εἶναι **οὐδεμίαν** σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων τῶν πολεμίων, οὕτω δὲ τεθαρρηκότων. — 7. **Οὐκ** ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν **οὐδὲν οὔτε** ζῶντι **οὔτε** τελευτήσαντι, **οὐδὲ** ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα. — 8. **Οὐδεὶς** ἔστιν ὅστις **οὐκ** ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλείονος ἀξίαν τοῦ σώματος. — 9. **Μήτε** παῖδας περὶ πλείονος ποιοῦ **μήτε** τὸ ζῆν **μήτε** ἄλλο **μηδὲν** πρὸ τοῦ δικαίου. — 10. **Οὐδεὶς** ἀντὶ τοῦ πολέμου τὴν εἰρήνην **οὐχ** αἱρεῖται· **οὐδεὶς** γὰρ **οὐκ** ἐπίσταται ὅτι ἐν τῷ μὲν οἱ παῖδες τοὺς πατέρας θάπτουσιν, ἐν δὲ τῷ οἱ πατέρες τοὺς

1. Ἀνειμένος, prop[t] : *relâché; sans pudeur.* — 2. Remarquer l'accent. — 3. Τά = *les différends.* — 4. Αὐτῶν renvoie à τὰ πρὸς ἀλλήλους. — 5. Génitif absolu, équivalant à une proposition conditionnelle.

N. B. — La syntaxe de la négation double n'est pas identique en grec et en latin.

παῖδας. — 11. **Οὐκ** ἦν ταῦτα[6] τοῖς τότ' Ἀθηναίοις πάτρια **οὔτ'** ἀνεκτὰ **οὔτ'** ἔμφυτα, **οὐδ'** ἐδυνήθη πώποτε τὴν πόλιν **οὐδεὶς** ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μέν, **μὴ** δίκαια δὲ πράττουσι δουλεύειν. — 12. Οὐ μὲν δὴ **οὐδὲ** τοῦτ' ἂν τις εἴποι ὡς τοὺς κακούργους ἐκεῖνος καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλὰ ἀφειδέστατα ἐτιμωρεῖτο. — 13. **Οὐδενὶ** πώποτε **οὔτε** ἡμεῖς **οὔτε** ουμὸς πατὴρ δίκην **οὔτε** ἐδικασάμεθα **οὔτε** ἐφύγομεν, ἀλλ' οὕτως[7] ᾠκοῦμεν ἐν τῇ πόλει ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν **μήτε** ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. — 14. **Οὐδένα** κίνδυνον οἱ πατέρες ἡμῶν, τῆς πατρίδος μᾶλλον ἢ τῆς ἑαυτῶν σωτηρίας ἐπιμελούμενοι, **οὐχ** ὑπέμειναν.

6. Ταῦτα = *ces faiblesses.* — 7. Οὕτως... ὥστε μή (*inf.*), *de manière à ne pas, sans.*

92. *Version.*

Dialogue d'un sage et d'un tyran[1].

« Καὶ πῶς, ἔφη ὁ σοφός, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, οὐκ ἀπαλλάττει[2] οὕτω μεγάλου κακοῦ; — Ὅτι, ἔφη ὁ τύραννος, καὶ* ταύτῃ[3] ἀθλιώτατόν ἐστιν ἡ τυραννίς· οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. Πῶς γὰρ ἄν τίς ποτε ἐξαρκέσειε τύραννος χρήματα ἐκτίνων ὅσα ἀφείλετο, ἢ δεσμοὺς ἀντιπάσχοι ὅσους[5] δὴ ἐδέσμευσεν, ἢ ὅσους[6] κατέκανε πῶς ἂν ψυχὰς ἀντιπαράσχοιτο[7];

1. Le tyran vient de se plaindre de son existence. — 2. Ἀπαλλάττει, 2e personne. — 3. Ταύτῃ, *sur ce point-ci.* — 4. Ἀντιπάσχοι, *compenser.* — 5. Ὅσους = τούτων ὅσους. — 6. Ὅσους = τούτοις ὅσους. — 7. Ἀντιπαράσχοιτο, *rendre à son tour.*

N. B. — Bien considérer les particules de liaison, qui marquent la suite logique.

Ἀλλ' εἴπερ τῳ[8] ἄλλῳ λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. Μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ. »

8. Τῳ, attique pour τινι indéfini.

93. *Version.*

Le chien et les brebis.

Φασί[1], ὅτε φωνήεντα ἦν τὰ ζῷα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· « Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς τὰ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν[2], τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ[3] αὐτὸς ἔχεις σίτου. » Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν[4]· « Καὶ μὰ Δί'· ἐγὼ γάρ εἰμι ὁ καὶ* ὑμᾶς αὐτὰς σῴζων ὥστε[5] μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι, ἐπεὶ[6] ὑμεῖς γε, εἰ[7] μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ[8] ἀπόλησθε. » Οὕτω δὴ λέγεται καὶ* τὰ πρόβατα συγχωρῆσαι[9] τὸν κύνα προτίμασθαι.

1. Φασί, *on dit,* est suivi de la proposition infinitive. — 2. Ὅ τι ἂν μὴ λάβωμεν, *rien que nous ne prenions = rien, sauf ce que nous prenons nous-mêmes.* — 3. Οὗπερ = τούτου ὅνπερ. — 4. Cette proposition infinitive se rattache à φασί du début. — 5. Ὥστε, et l'inf., *de manière à.* — 6. Ἐπεί, *puisque.* — 7. Εἰ et l'opt., *si* et le conditionnel. — 8. Φοβοῦμαι μή et le subj., *craindre que.* — 9. Συγχωρέω, et l'inf., *consentir à.*

N. B. — La proposition infinitive se construit, en principe, comme en latin.

Les prépositions. Gr., §§ 157-161.

94. *Exercice.*

1. Souvent la faiblesse survient à l'esprit **à cause de** la mauvaise complexion du corps. — 2. Je passais alors mon temps **dans** les festins **jusqu'à** oublier [1] les ennuis de la vie. — 3. La pire honte est [de] voir [2] ceux qui se croient dignes d'avoir l'hégémonie marcher chaque jour **contre** les Grecs, et d'autre part s'allier pour toujours **avec** les barbares. — 4. Nous voyons [2] les insulaires obligés, **à cause de** la pauvreté de leur sol, [de] cultiver des montagnes, et les gens du continent, **grâce à** la fertilité de leur pays, en laisser inculte la plus grande partie et tirer [3] de celle [4] qu'ils exploitent une si belle richesse. — 5. Les législateurs, ayant divisé la ville **par** quartiers et le pays **par** dèmes, surveillaient la vie de chacun. — 6. **Dans** la nuit, [c'est une] nécessité de connaître chaque chose plutôt **par** les oreilles que **par** les yeux. — 7. Antoine ordonna de placer la tête de Cicéron **au-dessus** des rostres, spectacle affreux [5] pour [6] les Romains. — 8. Tous les autres hommes ont coutume de délibérer **avant** les actes; mais vous, [c'est] **après** les actes. — 9. Sachant [2] que les orgueilleux sont haïs et **chez** les dieux et **chez** les hommes, ne

1. Tournez : *jusqu'au fait d'oublier.* — 2. Après *voir, savoir,* employer le participe, comme en latin. — 3. *Tirer,* tournez par : *possédant.* — 4. *De celle qu'ils..,* tournez : *de* (prép.) *laquelle* (cas de la préposition). — 5. *Spectacle affreux,* apposition à l'accusatif. — 6. Le datif suffit seul.

> N. B. — Les prépositions changent de sens, selon le cas qu'elles gouvernent.

faites[7] rien au delà de l'humaine nature. — 10. Les rois des Perses, avant les sacrifices, s'entretiennent sur la piété; avant de boire [8], sur la tempérance; à l'heure de faire la guerre [9], sur la vaillance. — 11. Ayez pitié[10] de nous, je [vous en] supplie, au nom de vos[11] enfants, de vos femmes, de tous les biens qui sont[12] à vous. — 12. Les Perses apprennent d'abord à leurs enfants à obéir aux lois; outre cela, à lancer le javelot et tirer de l'arc. — 13. Quand[13] les Athéniens apprirent ceux qui étaient morts[13] dans la bataille et ceux qui avaient été sauvés[14], les uns pleuraient de tristesse, les autres ne pouvaient se taire par l'effet de la joie. — 14. Vers la même époque, la guerre étant survenue contre Philippe, les Athéniens furent obligés de reconnaître la clairvoyance de Démosthène. — 15. Souvent vos orateurs parlent en faveur des mauvais citoyens et non des honnêtes gens.

7. *Ne... faites*, μή et *subj. aor.* — 8. *Boire* : ajouter l'article. — 9. Tournez : *devant* (μέλλω) *faire la guerre.* — 10. Imp. aor. — 11. *Vos*, cf. Gr., 61, Rem. — 12. *Qui sont*, tournez : *les étant.* — 13. *Quand*, ἐπεί, ind. — 14. Employez le part. aor. avec l'article.

95. *Version.*

1. Ὁ ἀγνοῶν τίς ἐστι καὶ **ἐπὶ** τί γέγονε καὶ **ἐν** τίνι τῷδε[1] τῷ κόσμῳ καὶ **μετὰ** τίνων κοινωνῶν[2], κωφὸς καὶ τυφλὸς περιελεύσεται[3]. — 2. Ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν **παρὰ** τὸ δίκαιον. — 3. Ἐλέγοντο οἱ Πέρσαι **ἀμφὶ** τὰς δώδεκα μυριάδας εἶναι. — 4. Οὗ **ἕνεκεν** ζῆν ἐθέλεις, **περὶ** τούτου καὶ ἀποθανεῖν μὴ κατόκνει. — 5. Ὑγίειαν ἔχειν **παρὰ** τῶν θεῶν αἰτοῦνται οἱ ἄνθρωποι, τὴν ταύτης δύναμιν **παρ'** ἑαυτοῖς ἔχοντες. —

1. Τῷδε, *d'ici-bas.* — 2. *Compagnons.* — 3. *Errera en tous sens.*

N. B. — Bien distinguer ἐν et le datif, de εἰς et l'accusatif.

6. Οὐκ εἰσὶν ἀφορμαὶ ὑπερμεγέθεις **πρὸς** ἐπίδειξιν φιλίας τοῖς **ἐν** εἰρήνῃ βαθείᾳ βιοῦσιν, ὥσπερ οὐδ' ἂν **ἐν** γαλήνῃ μάθοις εἰ ἀγαθὸς ὁ κυβερνήτης ἐστί· χειμῶνος γὰρ δεήσει σοι **πρὸς** τὴν διάγνωσιν[4]. — 7. Ὁ Θησεὺς τὴν μὲν ἀνδρείαν **ἐν** τούτοις ἐπεδείξατο τοῖς ἔργοις, **ἐν** οἷς αὐτὸς **καθ'** αὑτὸν ἐκινδύνευσε· τὴν δ' ἐπιστήμην[5], ἣν εἶχε **πρὸς** τὸν πόλεμον, **ἐν** ταῖς μάχαις, **ἐν** αἷς **μεθ'** ὅλης τῆς πόλεως ἠγωνίσατο. — 8. Αἰακοῦ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς. Ὧν ὁ μὲν ἕτερος **μεθ'** Ἡρακλέους **ἐπὶ** Λαομέδοντα[6] στρατευσάμενος τῶν ἀριστείων ἔτυχε. Πηλεὺς δ' **ἐν** τῇ μάχῃ τῇ **πρὸς** Κενταύρους ἀριστεύσας, καὶ **κατὰ** πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι τῇ[7] Νηρέως, θνητὸς ὤν, συνῴκησε. — 9. Εὑρίσκομεν τοὺς μεγαλοψύχους τῶν ἀνδρῶν **ἀντὶ** τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους. — 10. Ὅταν **ὑπὲρ** τῶν σεαυτοῦ[8] μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον πῶς τὰ ἑαυτοῦ διῴκησεν. — 11. Ὅτε πᾶσι τοῖς Ἕλλησι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἱ Θηβαῖοι **μετ'** αὐτοῦ ἦσαν. — 12. **Μετὰ** τὸ θεῖον, πλεῖστον χρὴ ποιεῖσθαι λόγον γονέων τε καὶ νόμων. — 13. Οὐδέ τι γίγνεται ἔργον **ἐπὶ** χθονὶ σοῦ **δίχα**[9], δαῖμον[10],
οὔτε **κατ'** αἰθέριον θεῖον πόλον, οὔτ' **ἐνὶ**[11] πόντῳ·
πλὴν ὁπόσα ῥέζουσι κακοί.

— 4. Τὴν διάγνωσιν, s.-ent. *de la valeur du pilote.* — 5. Τὴν δ' ἐπιστήμην, s.-ent. ἐπεδείξατο. — 6. *Laomédon,* roi de Troie. — 7. Τῇ, s.-ent. θυγατρί. Cf. Ἀλέξανδρος ὁ Φιλίππου, *Alexandre, fils de Philippe.* — 8. Τῶν σεαυτοῦ, *tes propres affaires.* — 9. Δίχα, prép. se place, comme ἕνεκα, après son complément. — 10. Δαῖμον : ces vers font partie d'un hymne à Zeus. — 11. Ἐνί = ἐν.

N. B. — En grec, comme en latin, la proposition relative est souvent placée avant son antécédente.

96. *Version.*

L'hiver en Gaule.

Ἡ Γαλατία κειμένη κατὰ τὸ πλεῖστον ὑπὸ τὰς ἄρκτους[1] χειμέριός[2] ἐστι καὶ ψυχρὰ διαφερόντως. Κατὰ γὰρ τὴν χειμερινὴν ὥραν, ἐν ταῖς συννεφέσιν ἡμέραις, ἀντὶ μὲν τῶν ὄμβρων χιόνι πολλῇ νίφεται[3], κατὰ δὲ τὰς αἰθρίας[4] πάγων πληθύει, δι' ὧν οἱ ποταμοὶ πηγνύμενοι διὰ τῆς ἰδίας φύσεως γεφυροῦνται. Οὐ μόνον γὰρ οἱ τυχόντες ὁδῖται κατ' ὀλίγους κατὰ τοῦ κρυστάλλου πορευόμενοι διαβαίνουσιν, ἀλλὰ καὶ στρατιωτῶν μυριάδες μετὰ σκευοφόρων[5] καὶ ἁμαξῶν γεμουσῶν ἀσφαλῶς περαιοῦνται.

1. Τὰς ἄρκτους, *le Nord.* — 2. *Glacial.* — 3. Νίφεται, impersonnel passif, *il est neigé.* — 4. Αἰθρίας, s.-ent. ἡμέρας. — 5. Au neutre.

97. *Version.*

La réputation de Démosthène.

Δημοσθένης λαβὼν τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν[1], καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παρρησίας ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δὲ λόγον αὐτοῦ εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων[2],

1. Δικαιολογίαν, *défense des droits.* — 2. Τῶν δημαγωγούντων, à rapprocher de πλεῖστον.

N. B. — Dans une version, considérer toujours avec soin les particules de liaison.

ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστιν.

98. *Version.*

Pressentiments.

Θηραμένης[1] ἔτυχεν* ἐν οἰκίᾳ ποτὲ διατρίβων· εἶτα, ἐπεὶ προῆλθεν αὐτῆς, παραχρῆμα ἐκείνη κατηνέχθη· οἱ μὲν οὖν Ἀθηναῖοι, ἄλλοι ἀλλαχόθεν[2] αὐτῷ περιφύντες, συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ παραδόξῳ. Ὁ δὲ παρὰ τὴν πάντων ἐλπίδα ἀπεκρίνατο· « Ζεῦ, ἐς τίνα με καιρὸν φυλάττεις; » Καὶ μετ' οὐ πολὺν χρόνον ὑπὸ τῶν Τριάκοντα ἀνῃρέθη, πιεῖν κώνειον καταναγκασθείς.

1. Théramène fut un membre modéré du gouvernement des Trente; sa modération même le perdit; le chef du parti violent, Critias, le fit condamner à mort (403 av. J.-C.). — 2. Ἄλλοι ἀλλαχόθεν : cf. le latin *alii alio.*

99. *Version.*

Les mines des rois d'Égypte.

Οἱ βασιλεῖς τῆς Αἰγύπτου τοὺς ἐπὶ κακουργίᾳ καταδικασθέντας καὶ τοὺς κατὰ πόλεμον αἰχμαλωτισθέντας, ἐπὶ δὲ τοὺς ἀδίκοις διαβολαῖς περιπεσόντας καὶ διὰ θυμὸν[1] εἰς φυλακὰς παραδεδομένους, ποτὲ μὲν αὐτούς[2], ποτὲ δὲ καὶ μετὰ πάσης συγγενείας ἀθροίσαντες, παραδιδόασι πρὸς τὴν τοῦ χρυσοῦ μεταλλείαν. Οἱ δὲ

1. Θυμόν, *colère* (des princes). — 2. Αὐτούς, *tout seuls.*

N. B. — Ne pas oublier que le redoublement reste à tous les modes du parfait.

παραδοθέντες, πολλοὶ μὲν τὸ πλῆθος ὄντες, πάντες δὲ πέδαις δεδεμένοι, προσκαρτεροῦσι τοῖς ἔργοις συνεχῶς καὶ μεθ' ἡμέραν καὶ δι' ὅλης τῆς νυκτός, ἀνάπαυσιν μὲν οὐδεμίαν λαμβάνοντες, δρασμοῦ δὲ παντὸς φιλοτιμῶς[3] εἰργόμενοι.

3. Φιλοτιμῶς, *avec zèle = par une surveillance sévère.*

100. *Version.*

Une armée dans la neige.

Ἐπορεύοντο διὰ χιόνος πολλῆς διεφθαρμένοι τοὺς ὀφθαλμοὺς[1] καὶ τοὺς πόδας[1] ἀλγοῦντες. Ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ[2] τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν πορεύοιτο, τῶν δὲ ποδῶν, εἴ τις κινοῖτο καὶ εἰς τὴν νύκτα[3] ὑπολύοιτο· ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυτο· καὶ γὰρ ἦσαν αὐτοῖς, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι[4] πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν. Διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ ἐκλελοιπέναι[5] αὐτόθι τὴν χίονα ᾔκαζον τετηκέναι· καὶ ἐτετήκει διὰ κρήνην τινά, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν νάπῃ. Ἐνταῦθ' ἐκτραπόμενοι ἐκάθηντο καὶ οὐκ ἔφασαν[6] πορεύεσθαι.

1. Accusatifs de relation. — **2.** Εἰ*⁴. — 3. Εἰς τὴν νύκτα, *pour la nuit;* ὑπολύοιτο, s.-ent. comme complément : τὰ ὑποδήματα. — 4. Καρβάτιναι, *gros souliers* faits de peau de bœuf non tannée. — 5. Ἐκλελοιπέναι, intransitif. — 6. Οὐκ ἔφασαν, *ils refusaient.*

N. B. — Dans les verbes composés, l'augment et le redoublement sont intercalés entre la préposition et le verbe.

SYNTAXE



L'OLYMPE.

Le Panthéon, un des sommets du mont Olympe, à neuf mille pieds d'altitude.

QUATRIÈME PARTIE

I. Propositions déclaratives et interrogatives indirectes. Gr., §§ 181-183 et 186.

101. *Exercice.*

1. Le roi des Perses osa dire qu'[1] **il était** le maître du monde entier[2], de l'Orient à l'Occident[3]. — 2. Je l'exhortai à prendre courage et lui dis que je **ne l'abandonnerais** pas. — 3. Xénophon demanda aux lochages **s'il** en **était un** parmi eux qui voudrait être homme de cœur et se présenter [comme] volontaire. — 4. L'éclaireur cria **que**[1] le roi **approchait** avec une armée nombreuse, **tout** préparé pour la bataille. — 5. On annonça à Xénophon que[1] s'il[4] entrait dans la ville, **il serait arrêté** et que ou bien il **serait tué** là-même, ou **il serait livré** à Pharnabaze. — 6. Les députés des Lacédémoniens dirent **qu'ils étaient venus** pour chercher[5] l'armée; Seuthès répondit **qu'il** la leur **remettait**, et **qu'il voulait** être leur ami et allié. — 7. Considérez non[6] ses paroles, mais sa vie; non quel **il dit** être, mais quel il **est**. — 8. Dans un banquet, ne dis pas[6] **comment il faut** manger, mais mange comme il

1. Rendre partout *que* par ὅτι. — 2. Tourner : *de tous les hommes*. — 3. Tournez : *depuis* (ἀπό, *gén.*) *le soleil levant* (ἄνειμι) *jusqu'à* (μέχρι, gén.) *couchant* (δύομαι). — 4. *Si,* ἐάν et subj. — 5. *Pour chercher,* ἐπί, acc. — 6. Μή.

N. B. — On se rappellera que μή et οὐ ne s'emploient pas indifféremment.

faut. — 9. Ils dirent qu'il **fallait** que ceux qui possédaient[7] fournissent le nécessaire à ceux **qui** étaient[7] dans la détresse. — 10. Cet honnête homme a maintes fois **déclaré** qu'il mourrait[8] plutôt que de dire[9] des mensonges. — 11. Je vous demande quelle opinion **vous auriez eue**[10] de moi, si[11] je n'avais pas signalé la perfidie de ce traître. — 12. Ulysse demanda à Eumée **si** son fils Télémaque **était** à Ithaque, et **si** son père Laërte **était mort ou non**[12]. — 13. Cléarque envoya quelqu'un dire[13] à Tissapherne qu'il **avait besoin de converser** avec lui. — 14. Le Cyclope demanda à Ulysse **quel était** son nom et **ce qu'il cherchait** dans l'île. — 15. Il répéta **qu'il n'avait** jamais **intenté** de procès à personne et qu'il **ne poursuivrait** pas **en** justice des parents, même déloyaux.

7. *Ceux qui...*, tourner par l'article et le part. – 8. Style direct, « *je mourrais* ». — 9. *Que de dire*, tourner : *qu'il dirait*, sans répéter ἄν — 10. Pour le conditionnel, cf. Gr., 97. — 11. *Si*, εἰ (μή) et l'aor. — 12. Cf. Gr., 186, n. 1. — 13. Tourner : *devant dire*. — 14. *Ce que*, tourner : *quoi?*

102. *Version.*

1. Πᾶσαι αἱ πόλεις καὶ πάντα τὰ ἔθνη διὰ μαντικῆς ἐπερωτῶσι τοὺς θεοὺς τί τε **χρὴ** καὶ τί οὐ **χρὴ** ποιεῖν. — 2. Οἱ Ἀθηναῖοι, πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν τί **χρὴ** ποιεῖν. — 3. Πρῶτος εἶπεν ὁ Θηραμένης, ὡς **χρὴ** πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τειχῆ περιαιρεῖν. — 4. Νικίας οὕτως ἦν φιλόπονος, ὥστε[1] πολλάκις ἐρωτᾶν τοὺς **οἰκέτας**, εἰ

1. Οὕτως... ὥστε, inf. : *au point de.*

N. B. — Dans la traduction, substituer toujours une tournure française à une tournure grecque.

ἡμίστηκεν. — 5. Πυθαγόρας ὁ Σάμιος πρῶτος ἐν τοῖς Ἕλλησιν ἐτόλμησεν εἰπεῖν, ὅτι τὸ μὲν σῶμα **θανεῖται,** ἡ δὲ ψυχὴ ἀναπτομένη[2] **οἰχήσεται** ἀθάνατος καὶ ἀγήρως. — 6. Εἰσῆσαν παρὰ Κῦρον οἱ στράτηγοι ἀξιοῦντες εἰδέναι τί σφίσιν **ἔσται,** ἐὰν* κρατήσωσιν. — 7. Ὁ μάντις εἶπεν ὅτι ὁ βασιλεὺς οὐ **μαχεῖται** πρὸ δέκα ἡμερῶν. — 8. Οἱ μάντεις ἀποδεδειγμένοι ἦσαν[3] ὅτι μάχη μὲν **ἔσται,** τὸ δὲ τέλος καλὸν τῆς ἐξόδου **γενήσεται.** — 9. Οἱ στρατιῶται συλλεγέντες ἐβουλεύοντο τὴν λοίπην πορείαν πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν **χρὴ** πορευθῆναι. — 10. Οἱ λόγοι ἦσαν αὐτοῖς ὡς αἰσχρόν **ἐστιν** ἄρχειν Ἀθηναῖον Πελοποννησίων. — 11. Ἀπεκρίνατο ὅτι πειθομένοις αὐτοῖς οὐ **μεταμελήσει.** — 12. Ἔλεγε Σεύθης[4] τοῖς ἐγχωρίοις ὅτι, εἰ μὴ πείσονται, **κατακαύσει** καὶ τούτων τὰς κώμας καὶ τὸν σῖτον, καὶ **ἀπολοῦνται** τῷ λιμῷ. — 13. Θαλῆς ἐρωτηθεὶς τί κοινότατόν **ἐστι,** ἀπεκρίνατο· « Ἐλπίς· καὶ γάρ, οἷς ἄλλο μηδέν, αὕτη πάρεστιν. — 14. Ἤρετό μέ εἰ τῶν Ἀθήνησι πραγμάτων[5] **ἐπιλέλησμαι,** καὶ τὸν δῆμον καταπεπονημένον καὶ σφόδρα ἐπιθυμοῦντα εἰρήνης μὴ **μέμνημαι**[6]. — 15. Ἀλέξανδρος, Ἀναξάρχου φιλοσόφου περὶ κόσμων[7] ἀπειρίας ἀκούων, ἐδάκρυε, καὶ τῶν φίλων ἐρωτησάντων αὐτὸν τί **δακρύει·** « Οὐκ ἄξιον[8], ἔφη, δακρύειν, εἰ κόσμων ὄντων ἀπείρων, ἑνὸς οὐδέπω κύριοι γεγόναμεν;

2. De ἀναπέτομαι. — 3. Ἀποδεδειγμένοι ἦσαν, de ἀποδείκνυμι. — 4. *Seuthès,* prince thrace. — 5. Τῶν πραγμάτων, *la situation.* — 6. Μιμνήσκομαι et la proposition participe à l'accusatif, *je me souviens que.* — 7. Κόσμων, *les mondes.* — 8. S.-ent. ἐστί.

N. B. — Le grec use du subjonctif beaucoup moins que le latin.

103. *Version.*

Pauvres et studieux.

Μενέδημον καὶ Ἀσκληπιάδην[1] τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους, οἱ Ἀρεοπαγῖται[2] μεταπεμψάμενοι ἠρώτησαν πῶς ὅλας τὰς ἡμέρας παρὰ τοῖς φιλοσόφοις διδασκόμενοι, κεκτημένοι δὲ οὐδέν, τροφὴν πορίζονται, καὶ εὐεκτοῦσιν[3] οὕτω τοῖς σώμασι. Καὶ οὗτοί τινα μυλωθρὸν[4] μετεπέμψαντο. Ἐλθόντος δὲ ἐκείνου καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μύλωνα καὶ ἀλοῦντες δύο δραχμὰς ἀμφότεροι λαμβάνουσιν, θαυμάσαντες οἱ Ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς.

1. Ménédème et Asclépiade, philosophes grecs, vécurent à la fin du IVe siècle av. J.-C. — 2. *Les membres de l'Aréopage*, le plus ancien tribunal d'Athènes, institué, disait-on, par Athéna. — 3. Εὐεκτέω, *se bien porter.* — 4. Μυλωθρός, *meunier.*

104. *Version.*

Générosité d'Agésilas.


Ἐπειδὴ ἡ μὲν νίκη σὺν[1] Ἀγησιλάῳ ἐγένετο, τετρωμένος δ' αὐτὸς προσηνέχθη πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων εἶπον αὐτῷ ὅτι τῶν πολεμίων ὀγδοήκοντα σὺν τοῖς ὅπλοις ὑπὸ τῷ ναῷ[2] εἰσι, καὶ ἠρώτων τί χρὴ ποιεῖν. Ὁ δέ,

1. Σύν, *en faveur de.* Il s'agit de la victoire de Coronée, en 394 av. J.-C. — 2. Τῷ ναῷ : ce temple était consacré à Athéna. —

N. B. — Le grec construit l'interrogation indirecte comme si elle était directe.

καίπερ πολλὰ τραύματα ἔχων πάντοσε καὶ παντοίοις ὅπλοις, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τε ἀπιέναι ὅποι βούλοιντο[3] ἐκέλευε καὶ ἀδικεῖν οὐκ εἴα**, καὶ προπέμψαι ἐπέταξε τοὺς ἀμφ' αὐτὸν ἱππεῖς ἔστε[4] ἐν τῷ ἀσφαλεῖ ἐγένοντο.

3. Βούλοιντο : rendre par l'imparfait de l'indicatif. — 4. Ἔστε et l'indicatif, *jusqu'au moment où.*



Cl. Y. Béquignon.

OLYMPIE : RUINES DU TEMPLE DE HÉRA.

II. Propositions subordonnées à l'indicatif.
Gr., §§ 194, 195 a, 196, 204.

105. *Exercice.*

1. **Puisque** nous éprouvons ces maux par suite des dissensions, ne faut-il pas maintenant mettre un terme à la guerre intestine? — 2. Les citoyens athéniens [d'] alors étaient si [1] valeureux **que** l'oracle conseilla aux Lacédémoniens de prendre chez nous leur chef. — 3. **S'il** croit que je serai encore ici moi-même, il se trompe. — 4. Le bouffon dit alors : « **Depuis que** le rire a disparu de l'humanité, mes affaires sont perdues ». — 5. **Après que** les députés eurent annoncé ces choses aux Athéniens, ceux-ci les envoyèrent à Lacédémone ; mais **quand** ils revinrent, n'ayant rien obtenu, le découragement s'empara de tous. — 6. Les ennemis ne nous ont pas déclaré la guerre **avant d'avoir** cru (πρίν *et l'ind.*) toutes leurs dispositions bien prises. — 7. **Sitôt qu'**ils aperçurent l'ennemi, les Grecs, n'ayant même pas attendu l'ordre du général, se précipitèrent en avant. — 8. **Tant que** la moitié de l'armée combattit, l'autre moitié garda le camp. — 9. **Si** les dieux ont quelque souci des affaires humaines, je crois que rien de ce qui m'arrive aujourd'hui ne leur échappe. — 10. Les Muses étant nées, les hommes furent tellement [1] ravis de plaisir, **qu'ils** négligèrent en chantant de manger et de boire (*tournez : aliments et boissons*). — 11. Les

1. *Si* (*tellement*)... *que*, οὕτω(ς)... ὥστε.

N. B. — Le grec distingue toujours, dans la syntaxe de ses subordonnées, un *fait* historique et unique de ce qui est hypothétique ou général.

assiégeants restèrent immobiles jusqu'au moment où les assiégés, réduits[2] par la famine, se rendirent. — 12. En même temps que les uns les attaquaient par terre, les autres les attaquaient par mer : **quand** ils furent battus des deux côtés, les généraux conclurent enfin la paix.

2. Employer le parfait.

106. *Exercice.*

1. Ὑμᾶς ὁρῶν εὐδαιμονίζω, **ὅτι**, οὕτω νέοι ὄντες, τοῦτο τὸ βέλτιστον κτῆμα, τὴν φιλίαν, ῥᾳδίως ἐκτήσασθε. — 2. **Εἰ** τῷ σώματι βούλει δυνατὸς εἶναι, ἐθιστέον ἐστὶ τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶσι. — 3. **Εἴτε** ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον[1] ἐστιν· **εἴτε** ὑπὸ τῆς πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον. — 4. **Ἐξ οὗ** τύραννος ἐγένετο Πεισίστρατος, ἀεὶ παρεσκεύασεν εἰρήνην καὶ ἐτήρησε τὴν ἡσυχίαν τῶν πολιτῶν. — 5. Ὁ Οἰδίπους τὸν πατέρα ἀποκτεῖναι πολὺν χρόνον ἠγνόησε πρότερον **πρὶν** τὸ ἀσέβημα ἐγνώρισεν. — 6. Πάντα τὰ πατρῷα χρήματα οὗτος ὁ μῶρος ἀνήλωσεν, **ἕως** οὐδ' ἔτι δραχμὴν ἔσχε μίαν. — 7. **Ὅτε** ἡ ἀναγωγὴ ἐγένετο ἐς τὴν Σικελίαν, ξυνεπεύχοντο ὁ ὅμιλος ὁ ἐκ τῆς γῆς καὶ τῶν πολιτῶν, καὶ **εἴ** τις ἄλλος[2] εὔνους παρῆν σφίσι. Παιωνίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς ἀνήγοντο. — 8. **Ἐν ᾧ** ὑμεῖς, ὦ εὐήθεις ἄνδρες, τὴν εἰρήνην ὑμνεῖτε, οἱ

1. Le grec peut écrire : φιλητέον ἐστὶ (*amandum est*) τὴν ἀρετήν, *il faut aimer la vertu.* — 2. Εἴ τις ἄλλος, cf. le latin : *si quis alius..* —

N. B. — Conformément à ses habitudes de clarté, le grec distingue la conséquence réalisée une fois, de la conséquence générale ou possible.

Βάρβαροι, οὐδὲ τὰς συνθήκας τηροῦντες, λάθρα ὁπλίζονται. — 9. Διογένης, ὀδυρομένου τινὸς **ἐπεὶ** ἐπὶ ξένης[3] ἔμελλε τελευτᾶν, εἶπεν· « Τί ὀδύρει, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδός ἐστιν ἡ αὐτὴ εἰς Ἅδου[4]. — 10. **Ἐπειδὴ** Κῦρος ἐν τῇ Βαβυλῶνι ἤκουσεν εἶναι ἑορτήν, ἐν ᾗ πάντες Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ταύτῃ, **ἐπειδὴ τάχιστα** συνεσκότασε, ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν ποταμόν. **Ὡς** δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει. — 11. **Ἐπεὶ** Δαρεῖος ὑπώπτευσε τὴν τελευτὴν τοῦ βίου, ἐβούλετο ἀμφοτέρους τοὺς παῖδας παρεῖναι. — 12. Τοσούτου δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν **ὥστ'** ἐγὼ οὐδὲ τὴν δεδομένην μοι χώραν[5] ἠξίωσα λαβεῖν. — 13. Οἱ σοφισταὶ τοσοῦτον ἀφεστᾶσι τοῦ νοῦν ἔχειν, **ὥστε** οὐκ ἴσασιν ὅτι[6] τοῖς αὐτοῖς ἄν τις λογισμοῖς χρώμενος τοὺς μὲν βλάψειε, τοὺς δ' ὠφελήσειε. — 14. Ὁ ἐπιχαιρέκακος[7] τοσοῦτον ἐλλείπει τοῦ λυπεῖσθαι τοῖς πέλας κακοῖς, **ὥστε** καὶ χαίρειν. — 15. Ὁρῶ πολλοὺς ἰδιώτας οἵ, πάνυ πολλὰ ἔχοντες χρήματα, οὕτω πένεσθαι ἡγοῦνται, **ὥστε** πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ᾧ[8] πλείονα κτήσονται.

3. Ξένης, s.-ent. γῆς. — 4. Εἰς Ἅδου, s.-ent. οἶκον. — 5. Χώραν, *place, situation.* — 6. Ὅτι, *que.* — 7. Ἐπιχαιρέκακος, *misanthrope.* — 8. Ἐφ' ᾧ, *à la condition que.*

107. *Version.*

L'orgueil d'Alcibiade confondu par Socrate.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα[1] ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν

1. Μέγα φρονεῖν forme une locution à chercher.

N. B. — Bien distinguer ὡς *conjonction,* de ὡς *adverbe.*

ἐπί τινα τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον[2], καὶ προσέταξε τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δὲ εὗρε, προσέταξε τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι. Τοῦ[3] δὲ εἰπόντος· « Ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν, » — « ἐπὶ τούτοις, εἶπε, μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν; »

12. Il s'agit d'une carte du monde. — 3. L'article a la valeur d'un démonstratif.

108. *Version.*

A l'homme orgueilleux.

Σὺ μὲν πλούτῳ κομᾷς καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς, καὶ ἐπαγάλλει πατρίδι καὶ κάλλει σώματος καὶ ταῖς παρὰ πάντων τιμαῖς· εἶτα δ' οὐκ οἶσθα ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει; Ἔγκυψον οὖν τοῖς τάφοις, εἰ[1] δυνήσει διακρῖναι τίς ὁ οἰκέτης καὶ τίς ὁ δεσπότης, τίς ὁ πτωχὸς καὶ τίς ὁ πλούσιος· διάκρινον, εἴ τίς σοι δύναμις[2], τὸν δέσμιον[3] ἀπὸ τοῦ βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ τοῦ δυσειδοῦς. Καὶ μεμνημένος[4] τῆς φύσεως, οὐκ ἐπαρθήσει ἔτι.

1. Εἰ, *pour voir si.* — 2. S.-ent. ἐστί. — 3. *Esclave..* — 4. De μιμνήσκω.

109. *Version.*

Désirs insatiables de l'homme.

Οὐ δεῖ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν· ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν

N. B. — La négation varie avec la conjonction.

ἀνθρώπων ἐστίν. Οὕτω γὰρ ἐξαρτώμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν*, ὥστ'[1] οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ', ἀεὶ τοῦ πλείονος[2] ὀρεγόμενοι, καὶ* περὶ τῶν ὑπαρχόντων κινδυνεύουσι.

1. Rapprocher οὕτω... ὥστε. — 2. Τὸ πλεῖον, *plus* (*qu'ils n'ont*).

110. *Version.*

Eaque.

Αἰακός, ὁ Διὸς ἔκγονος, τοσοῦτον διήνεγκεν, ὥστε, γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτόν, νομίζοντες, διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου, τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. Σωθέντες δὲ καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ[1] ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν· ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις.

1. Οὗπερ, adv., *là où précisément.*

La particule ἄν se joint à *l'infinitif* pour lui donner le sens du conditionnel.

III. Propositions finales au subjonctif. Gr., §§ 188-192

111. *Exercice.*

1. Travaille, enfant, **afin que** ta vie **soit** plus heureuse que la mienne. — 2. Il faut **craindre**, Athéniens, **que** n'ayant pas secouru vos alliés, **vous ne soyez pas** aidés par eux dans les dangers. — 3. On dit[1] qu'Esope vint à Delphes avec l'or de Crésus, **pour**[3] **sacrifier** magnifiquement. — 4. Il est bon de louer les hommes supérieurs, **pour que** les jeunes gens **aient** de beaux exemples [à] imiter. — 5. Il désire commander non[2] **pour**[3] **gagner** des honneurs, mais **pour**[3] **acquérir** des richesses considérables. — 6. Nous avons fait des prisonniers, **afin d'avoir** des guides connaissant le pays. — 7. Je vous ai mandés **afin de** (ὅπως) **délibérer** avec vous sur ce qui[4] est juste et **d'exécuter** ensuite rapidement les choses décidées (*parf.*). — 8. Tissapherne détruira le pont, cette nuit, **pour que vous** ne **traversiez** pas, et **que vous soyez surpris** entre le fleuve et le canal. — 9. S'il est nécessaire de combattre, il faut aviser **à**[5] **recevoir** le moins de blessures et **à perdre** le moins d'hommes[6] possible[7]. — 10. [C']est l'heure pour nous de délibérer sur nous-mêmes, **de peur que nous ne paraissions** les pires et les

1. *On dit,* λέγεται et prop. inf. — 2. *Non,* οὐχ. — 3. Tourner par ἵνα. — 4. *Sur ce qui,* ὅ τι. — 5. *Aviser à,* σκέπτομαι ὅπως. — 6. *Hommes,* ἀνδρῶν σώματα. — 7. *Possible,* cf. ὡς*

N. B. — Comparer φοβοῦμαι μή, *je crains que,* au latin *timeo ne,* et φοβοῦμαι μὴ οὐ, *je crains que.. ne.. pas,* à *timeo ne non.*

plus vils des hommes. — 11. Le mieux est donc pour nous de secourir ces gens, **afin que nous** ne **soyons** pas seuls en pays ennemi. — 12. Je crains **que je ne puisse pas,** à cause de mon inexpérience, vous parler convenablement de cette affaire. — 13. Ils s'exercent ainsi sans cesse, **afin de pouvoir**, la guerre survenant [8], faire les choses accoutumées. — 14. Les tyrans craignent à la fois **d'être privés** de leur pouvoir, et **de devenir** incapables de punir leurs ennemis. — 15. **Pour**[9] **manger** agréablement, tu cherches des cuisiniers; **pour**[9] **boire** agréablement, tu achètes des vins coûteux; **pour**[9] **dormir** agréablement, tu entasses les coussins moelleux. — 16. Je ne crains pas de **n'avoir pas** de quoi donner [10] à chacun de mes amis, mais je crains de **n'avoir pas** des amis assez nombreux à qui donner [11].

8. *La guerre survenant,* gén. absolu. — 9. *Pour,* tourner par : *pour que,* avec subj. aor. — 10. Tourner : *quoi* (neutre de ὅστις) *je donne* (subj.). — 11. *A qui donner,* tourner : *à qui je donne* (subj.).

112. *Version.*

1. Δυστυχῶν κρύπτε τὴν συμφορὰν, **ἵνα** μὴ τοὺς ἐχθροὺς εὐφρανῇς. — 2. Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σεαυτοῦ πράξεις, **ἵνα** τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δ' αἰσχρὰς καλύπτῃς. — 3. Διογένης, ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών· « **Ἵνα** μὴ πληγῶ. » — 4. Τὸ μὲν ἐγκαλέσαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον [1]· τὸ δὲ **ὅπως** τὰ παρόντα βελτίω γένηται συμβουλεῦσαι, τοῦτ' ἔμφρονος συμβούλου ἔργον [1]. — 5. Εὑρήσομεν

1. S.-ent. ἐστί.

N. B. — Ne pas confondre ἵνα, *pour que,* conjonction, avec ἵνα, *où,* adverbe.

τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας καὶ πάντα ποιοῦντας **ὅπως** ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν. — 6. Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, **ἵνα**, περὶ ὧν[2] ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. — 7. Ἐπιμελοῦνται οἱ γονεῖς πάντα ποιοῦντες **ὅπως** οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. — 8. Χρὴ τὸν εἰς τὸ ἄρχειν παιδευόμενον ὕπνου ἐγκρατῆ[3] εἶναι, **ὅπως** μὴ τὰ τῆς πόλεως γίγνηται ἄπρακτα παρὰ τὴν ἐκείνου ἀργίαν. — 9. Ἀξιοῖ ἀργύριον λαμβάνειν ὁ δῆμος, **ἵνα** αὐτός τε ἔχῃ καὶ οἱ πλούσιοι πενέστεροι γίγνωνται. — 10. Βασίλευε δικαίως καὶ τῶν ἀγαθῶν συμβούλων ἄκουε αὐτός, **ὡς** πάντες ἐν τῇ πόλει πολῖταί σοι ὑπακούωσιν. — 11. Σίγα τὸ πολύ, **ὡς** τὸν καιρὸν τοῦ λέγειν λαμβάνῃς, ἢ περὶ ὧν[4] οἶσθα σαφῶς ἢ περὶ ὧν ἀναγκαῖόν ἐστιν εἰπεῖν. — 12. Εὖ, ὦ παῖ, ἂν[5] σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσει συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, **μή** * σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους αὖ φυλάξει, **μή** σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσι, κᾆτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. — 13. Φοβοῦμαι **μή** σύ, δεινὰ[6] δράσας, αὐτὸς δεινά ποτε πάθῃς. — 14. Φοβεῖσθαι δεῖ **μὴ** τὴν ἀρχὴν ἀπολέσαντες οὐ τὴν ἐλευθερίαν διασῴζωμεν. — 15. Ἐφοβεῖτο Θεμιστοκλῆς **μὴ** οἱ Λακεδαιμόνιοι αὐτὸν οὐκέτι ἀφῶσιν.

2. Περὶ ὧν = περὶ τούτων ἅ; ἄν donne au relatif le sens *général* de *quisquis;* ἀμφιγνοέω, *ne pas savoir exactement.* — 3. Ἐγκράτης et gén., *modéré à l'égard de.* — 4. Περὶ ὧν = περὶ τούτων ἅ. — 5. Ἄν, conj. pour ἐάν, *si* (avec le subj.). — 6. Δεινά, *des choses indignes.*

N. B. — Μή est souvent employé seul, pour ἵνα μή, au sens de : *de peur que* (μή... οὐ = *de peur que... ne... pas*).

113. *Version.*

Quelques conseils moraux.

Φοβοῦ μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν καὶ ἐργάζου ὅπως τῆς ψυχῆς χρηστὴν μνήμην καταλίπῃς. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθίσθῃς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἅττ' ἂν[1] σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. Ὧν[2] τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. Ἃ τοῖς σεαυτοῦ παισὶν ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου, ἵνα μὴ ἄλογόν σε λέγωσι πάντες.

1. Ἅττ' (relatif) ἄν et le subj. = *tout ce qui.* — 2. Ὧν (masculin) : ce relatif a pour antécédent un τούτων, sous-entendu devant πράξεις.

114. *Version.*

Contre l'indolence des Athéniens, qui ne veulent pas voir les menaces de guerre.

Πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν ὅστις ἀγνοεῖ[1] τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν[2] ἀμελήσωμεν; Ἀλλὰ μήν, εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ[3] οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τόκοις μεγάλοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ[4] τῶν ἀρχαιῶν[5] ἀπέσ-

1. Ὅστις ἀγνοεῖ, correspondant à οὕτως, équivaut à : *pour ignorer.* — 2. Ἄν, pour ἐάν, *si,* et le subjonctif. — 3. Τὸν αὐτὸν τρόπον ὥσπερ, *quemadmodum,* a pour corrélatif οὕτω, *ita.* — 4. Cf. καί*. — 5. Τὰ ἀρχαῖα, *le capital.*

Φαίνομαι ἡμαρτηκώς, m. à m. *je suis visible m'étant trompé,* se rend par : *je me suis évidemment trompé.*

τησαν, οὕτω καὶ ἡμεῖς ἐπὶ πολλῷ[6] φανῶμεν ἐρρᾳθυμηκότες, καί, ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπά, ὧν[7] οὐκ ἐβουλόμεθα, ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν[8] ἐν αὐτῇ τῇ χώρᾳ.

6. Ἐπὶ πολλῷ, *à gros intérêts,* rappelle ἐπὶ τόκοις μεγάλοις, du premier membre de la comparaison. — 7. Ὧν = τούτων ἅ, *de ce que.* — 8. Sur cet emploi de l'article avec un adverbe ou un groupe de valeur adverbiale, cf. Gr., 15, 4°.

IV. L'optatif de concordance.
Gr., §§ 184, 187, 189, 192, 193.

115. *Exercice.*

1. Il demanda quel **était** le mot d'ordre. — 2. J'ai souvent entendu dire qu'[1] un ami sûr **était** le meilleur de tous les biens, mais que les hommes **étaient préoccupés** de tout, plus que de l'acquisition d'amis. — 3. Les envoyés vinrent dire à quelles conditions[2] les Lacédémoniens **étaient** prêts à faire la paix. — 4. Les Grecs étaient étonnés que[3] Cyrus ne **parût** pas et qu'aucun autre ne **vînt** de sa part; et ils délibéraient [pour savoir] si restant là-même, ils y **apporteraient** leurs bagages ou s'ils **s'en iraient** dans le camp. — 5. Les habitants demandaient toujours aux marins qui arrivaient dans leurs ports s'ils **étaient** des pirates. — 6. Quelques-uns craignant **de mourir** se suicidèrent. — 7. Les Grecs savaient que[1] le roi **occupait** le milieu de l'armée perse et qu'il se **croyait** là en sûreté. — 8. Craignant que les ennemis

1. *Que,* ὅτι. — 2. Tournez : *venant dirent; à quelles conditions,* ἐφ' οἷς. — 3. *Que,* tourner par : *si,* εἰ.

N. B. — L'emploi de l'optatif de concordance est extrêmement fréquent.

n'**arrivassent** par derrière et ne **taillassent** en pièces ses réserves, le général marcha droit devant [lui]. — 9. Il montra dès le début qu'[1] il **tenait** avant tout, s'il[4] faisait quelque convention ou quelque promesse, à ne jamais[4] mentir. — 10. Cyrus avait fait préparer[5] des chariots pleins de farine et de vin, **afin de**[6] **les distribuer** aux Grecs, si jamais l'armée venait à en manquer[7]. — 11. Il demanda aux envoyés ce qu'[8] ils **voulaient**; ceux-ci répondirent qu'ils[1] étaient **venus**[9] pour une trêve. — 12. Plusieurs objectèrent qu'il **n'était** pas digne du roi de laisser partir ceux qui avaient fait campagne contre lui. — 13. Tous savaient qu'il **était permis** d'aborder le général déjeunant ou dînant, et même, s'il dormait[10], de l'éveiller pour lui parler[11], si[10] l'on avait quelque chose [à lui dire] concernant la guerre. — 14. Il parut alors que[1] le mieux **était** d'effrayer, si l'on **pouvait**, les ennemis qui suivaient, **pour** les **empêcher**[12] **d'attaquer** les malades. — 15. Ils n'acceptèrent d'abord pas les présents des envoyés, et leur dirent[13] d'attendre jusqu'à ce qu'ils **eussent sacrifié**; les devins déclarèrent tous que[1] les dieux **n'approuvaient** nullement une telle guerre.

4. *Si*, εἰ, optatif. *Ne... jamais,* μηδαμῶς. — 5. Tournez : *avait préparé.* — 6. Employer ἵνα. — 7. Tournez : *le manque prenait* (*opt.*) *l'armée.* — 8. *Ce que*, tournez : *quoi.* — 9. Employer ἥκω, *être venu.* — 10. *Si*, εἰ et *opt.*. — 11. Tournez : l'*ayant éveillé* (*acc.*) [de *lui*] *parler.* — 12. *Pour les empêcher de*, μή (= *de peur que*). — 13. *Dirent*, κελεύω..

116. *Version.*

1. Ὁ Λυκοῦργος οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν[1] ἐλθὼν εἰς Δελφοὺς ἐπήρετο τὸν θεόν, **εἰ** ἄμεινον **εἴη** τῇ

1. Οὐ πρότερον... πρίν et l'ind., *pas avant que.*

N. B. — L'emploi de l'optatif de concordance est fréquent. mais non obligatoire.

Σπάρτῃ πείθεσθαι τοῖς νόμοις οὓς αὐτὸς ἔθηκεν. — 2. Λέγεται τὸν Κινέαν, ἐπεὶ τὴν τῶν Ῥωμαίων ἀρετὴν κατενόησε, τῷ Πύρρῳ εἰπεῖν **ὡς** ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον **φανείη**. — 3. Καὶ εὐθὺς ἀγαγόντες τοὺς αἰχμαλώτους ἤλεγχον **εἴ** τινα **εἰδεῖεν** ἄλλην ὁδὸν ἢ τὴν φανεράν. — 4. Πάντες οἱ Πέρσαι, οἵπερ πρόσθεν προσεκύνουν, καὶ[2] τότε προσεκύνησαν, καίπερ εἰδότες **ὅτι** ἐπὶ θάνατον Ὀρόντας **ἄγοιτο**. — 5. Εἶχον δρεπανηφόρα[3], **ὡς διακόπτοιεν ὅτῳ ἐντυγχάνοιεν**. — 6. Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος **μὴ κυκλωθείη** ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο **ὅτι** αὐτῷ[4] **μέλοι** ὅπως καλῶς **ἔχοι***[5]. — 7. Σωκράτης ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν ἵνα **ἐσθίοιεν**, αὐτὸς δὲ ἐσθίειν ἵνα **ζῴη**. — 8. Ἐθαύμαζεν ὁ Σωκράτης εἴ[6] τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον **πράττοιτο**[7], καὶ μὴ **νομίζοι** τὸ μέγιστον κέρδος ἕξειν φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ **φοβοῖτο*** μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι οὐ τὴν μεγίστην χάριν **ἕξοι**. — 9. Κῦρον ἡ μήτηρ διηρώτα, πότερον **βούλοιτο** μένειν ἢ ἀπιέναι. Ὁ δὲ ταχὺ εἶπεν ὅτι μένειν **βούλοιτο**. — 10. Οἱ ἔφοροι οὐ συνελάμβανον αὐτὸν[8] ἐν τῇ πόλει, ὅτι τὸ πρᾶγμα[9] οὐκ ἦσαν ὁπόσον τὸ μέγεθος **εἴη**, καὶ ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος οἵτινες **εἶεν**

2. Καί, *même*. — 3. Δρεπανήφορα, *chars garnis de faux*. — 4. Αὐτῷ, *à lui Cléarque*. — 5. Καλῶς ἔχει (locution), *tout va bien*. — 6. Εἰ, après un verbe *s'étonner*, se traduit par *que*. — 7. Allusion aux *sophistes*, qui faisaient payer leurs leçons. — 8. Le conjuré Cinadon. — 9. Τὸ πρᾶγμα, le *complot* (contre l'État).

N. B. — L'optatif de concordance ne doit pas être confondu avec le conditionnel.

οἱ συμπράττοντες. — 11. Πρῶτον μὲν ἐφοβούμην μή τίς μου τὴν οἰκίαν διορύξας καὶ τὰ χρήματα **λάβοι** καὶ αὐτόν τί με κακὸν **ἐργάσαιτο**[10].

10. Ἐργάσαιτο, ce verbe est construit avec deux acc.

117. *Version.*

1. Ἐκεῖνος πολλάκις ἔλεγεν ὡς τῶν κτημάτων κράτιστον **εἴη** φίλος σαφὴς καὶ ἀγαθός. — 2. Λυκοῦργος ἔδωκε τῷ παιδονόμῳ[1] καὶ* τῶν ἡβώντων[2] μαστιγοφόρους, ὅπως **τιμωροῖεν** ὅτε **δέοι**. — 3. Δημάδης[3] ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς **εἴη**· « Τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα· » ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων τῶν σοφιστῶν[4]. — 4. Ὁ γελωτοποιὸς κρούσας τὴν θύραν εἶπε τῷ ὑπακούσαντι εἰσαγγεῖλαι ὅστις τε **εἴη** καὶ διότι κατάγεσθαι[5] **βούλοιτο**. — 5. Μένων[6] ὁ Θετταλὸς δῆλος* ἦν ἐπιθυμῶν μὲν πλουτεῖν ἰσχυρῶς[7], ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω **λαμβάνοι**, ἐπιθυμῶν δὲ τιμᾶσθαι ἵνα πλείω **κερδαίνοι**· φίλος δὲ ἐβούλετο εἶναι τοῖς μέγιστα δυναμένοις, ἵνα ἀδικῶν μὴ **διδοίη** δίκην[8]. — 6. Ἀγησίλαος ὑμνῶν οὔποτ' ἔληγεν ὡς τοὺς θεοὺς **οἴοιτο** οὐδὲν ἧττον ὁσίοις ἔργοις ἢ ἁγνοῖς ἱεροῖς ἥδεσθαι. — 7. Εἴ[9] τί τις ἀγαθὸν ἢ κακὸν

1. Παιδονόμῳ, *directeur de l'éducation* des enfants à Sparte. — 2. Τῶν ἡβώντων, *pris parmi les hommes en pleine vigueur.* — 3. *Démade*, orateur attique. — 4. Σοφιστῶν, *maîtres de rhétorique.* — 5. Κατάγεσθαι, *être introduit.* — 6. *Ménon*, général dans l'armée des Dix Mille. — 7. Ἰσχυρῶς, à rapprocher de ἐπιθυμῶν. — 8. Δίδωμι δίκην, cf. le latin *dare pœnas.* — 9. Εἰ et l'opt., *toutes les fois que.*

N. B. — Dans une *subordonnée,* le verbe principal étant au *passé,* l'*optatif* remplace souvent l'indicatif ou le subjonctif.

ποιήσειεν αὐτόν, νικᾶν ἐπειρᾶτο[10] καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον[11], **ὡς εὔχοιτο** τοσοῦτον χρόνον[12] ζῆν, **ἔστε νικῴη** τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος.

10. Ἐπειρᾶτο. Il s'agit de Cyrus le Jeune. — 11. Ἐξέφερον, *divulguaient, citaient;* ὡς, *à savoir que.* — 12. Τοσοῦτον χρόνον, ἔστε, *assez de temps pour que.*

118. *Version.*

Un remords de Darius.

Δαρεῖος ἀνεσταύρωσε[1] τὸν Σανδώκην[2], ὄντα τῶν βασιλείων δικαστῶν, ὅτι ὁ Σανδώκης ἐπὶ χρήμασιν ἄδικον δίκην ἐδίκασεν· ἀνακρεμασθέντος οὖν αὐτοῦ, λογιζόμενος ὁ Δαρεῖος εὗρεν αὐτῷ[3] πλείω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα εἰς οἶκον τὸν βασίλειον· εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα[6] εἰργασμένος εἴη, ἔλυσεν.

1. Ἀνεσταύρωσε. Le grec fait comme le latin, qui écrit *occidit,* pour *il fit tuer.* — 2. *Sandocès.* — 3. Αὐτῷ, entendre : *par Sandocès.* — 6. Ταχύτερα ἢ σοφώτερα : cf. le latin *felicior quam prudentior.*

119. *Version.*

Prise de Babylone par Cyrus.

Ἐπεὶ ἡμέρα ἐγένετο καὶ ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἑαλωκυῖάν τε τὴν πόλιν καὶ τὸν βασιλέα[1] τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. Ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρελάμβανε,

1. Ce roi est le Balthazar de l'Écriture; l'histoire l'appelle Nabonir.

N. B. — Souvent l'aoriste grec doit être rendu par le plus-que-parfait français.

καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας ἀνέπεμπε, τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προσήκουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν ἀποφέρειν πάντας τὰ ὅπλα Βαϐυλωνίους· ὅπου δὲ ληφθήσοιτο[2] ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν ὡς πάντες οἱ ἔνδον[3] ἀποθανοῖντο. Οἱ μὲν δὴ ἀπέφερον, ὁ δὲ Κῦρος ταῦτα μὲν εἰς τὰς ἄκρας κατέθετο, ὡς[4] εἴη ἕτοιμα, εἴ τί ποτε δέοι χρῆσθαι.

2. Ληφθήσοιτο, ἀποθανοῖντο remplacent, dans le style indirect, deux futurs de l'indicatif. — 3. Οἱ ἔνδον = *les gens de cette maison.* — 4. Ὡς, *afin que.*

120. *Version.*

Un chef vigilant et dur : Cléarque[1].

Κλέαρχος ἱκανὸς εἴ τις καὶ ἄλλος[2] φροντίζειν ἦν ὅπως ἔχοι ἡ στρατία αὐτοῦ τὰ ἐπιτήδεια, ἱκανὸς δὲ καὶ ἐμποιῆσαι[3] τοῖς παροῦσιν ὡς πειστέον[4] εἴη Κλεάρχῳ. Τοῦτο δ' ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι· καὶ γὰρ ὁρᾶν στυγνὸς ἦν καὶ τῇ φωνῇ τραχύς, ἐκόλαζέ τε ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε. Γνώμῃ[5] δ' ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι, ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν ὡς δέοι τὸν στρατιώτην φοϐεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν ἢ φίλων[6] ἀφέξεσθαι[7] ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους.

1. *Cléarque*, général des Dix Mille. — 2. Εἴ τις καὶ ἄλλος, *si quis alius = entre tous.* — 3. Ἐμποιῆσαι, *faire comprendre.* — 4. Πειστέον, de πείθομαι. — 5. Γνώμῃ, *par principe.* — 6. Φίλων, *les peuples amis.* — 7. Ἀφέξεσθαι, de ἀπέχομαι.

N. B. — L'optatif de concordance n'est pas accompagné de ἄν.

V. Conditionnel présent et passé. Gr., §§ 199-202.

121. *Exercice.*

1. Tu aspirerais désormais à la vertu, **si tu savais** que [c'est] d'elle seule [que] nous tirons nos joies légitimes. — 2. Tu ne tires[1] aucun argent de tes leçons : **si tu croyais** qu'elles ont quelque valeur, **tu** ne les **donnerais** gratuitement à personne. — 3. Si quelqu'un **disait** que les maux actuels ont commencé pour les Athéniens quand ils prirent le commandement de la mer, il **ne saurait être** convaincu[2] de mensonge. — 4. Si vous n'**étiez** pas **venus, nous marcherions** maintenant contre le roi. — 5. De quelles espérances me **priverais-je** moi-même, **si j'essayais** jamais de te faire quelque mal ! — 6. Si alors les ennemis **avaient été réunis** en plus grand nombre, une grande partie de l'armée **eût risqué** d'être détruite.[3]. — 7. O roi, **si tu rendais** ton pays heureux, [ce n'est] pas un seul [qui] **proclamerait** ta victoire, mais tous les hommes **célébreraient** ta vertu : **tu serais aimé** par bien des cités et tous se **réjouiraient** de ton bonheur. — 8. « Depuis longtemps, Lacédémoniens, **nous serions** à votre service[4], si Xénophon ne nous **avait** pas **amenés** ici ». — 9. Si les affaires **allaient** ainsi mal pour

1. Πράττομαι, acc. — 2. Tournez : *il ne serait pas convaincu mentant*. — 3. Inf. aor. 2. de διαφθείρω. — 4. *A votre service,* tournez : *à la disposition* de (παρά, dat.) *vous*.

N. B. — Bien distinguer le potentiel (*demain, un jour*) de l'irréel présent (*en ce moment*).

nous, alors que nous ferions tout ce qui convient[5], **il n'y aurait** même pas l'espérance aujourd'hui, qu'elles pussent s'améliorer[6]. — 10. Lycurgue n'**aurait fait** Sparte différente en rien des autres cités, **s'il n'avait mis** en elle avant tout l'esprit d'obéissance[7] aux lois. — 11. Penses-tu **que j'eusse vécu** si tranquille et si heureux, **si je ne m'étais abstenu** de faire[8] de la politique? — 12. **Je le ferais** encore, **si j'avais** à le faire[9]. — 13. Les Spartiates supportent toutes les fatigues : **ils** ne **pourraient** pas le faire, **s'ils n'étaient entraînés** par des exercices perpétuels. — 14. Les Grecs n'**auraient** pas **vaincu** les Perses, **si** Léonidas, pour leur fermer le passage, n'avait pas **lutté** vaillamment et **succombé** aux Thermopyles.

5. Tournez par le génitif absolu : *nous faisant ce qui convient.* — 6. *Elles pussent s'améliorer,* tournez : *elles s'améliorer.* – 7. *L'esprit d'obéissance*, tournez : *le fait d'obéir.* — 8. Tourner : *du faire.* — 9. Tourner par l'adj. verbal : *si* [la chose] *était devant être faite à moi.*

122. *Version.*

1. Εἰ ἧττον ὑπὸ τούτου τοῦ ῥήτορος **ἐθηρεύετο** τὰ ῥήματα, μᾶλλον **ἂν ἴσχυεν.** — 2. Μάλιστα **ἂν εὐδοκιμοίης** εἰ **φαίνοιο** ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. — 3. Δημοσθένης, πυνθανομένου τινὸς[1] πῶς **ἄν** τις ἑαυτοῦ διδάσκαλος **γένοιτο·** « Εἰ ὑπὲρ ὧν[2] ἐπιτιμᾷ[3] τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ **ἐπιτιμῴη** μάλιστα. » — 4. Μάλιστα **ἂν παροξυνθείης** ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ **καταμάθοις** ὅτι καὶ* τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίας ἔχομεν. —

1. Gén. absolu. — 2. Ὧν = τούτων ἅ. — 3. Τις est s.-entendu.

N. B. — Il n'y a pas de nuance de *temps* entre l'optatif présent et l'optatif aoriste.

5. Αἱ τέχναι ἐπιδεδώκασιν· εἰ ἄρα νῦν ἡμῖν ὁ Δαίδαλος **ἀναβιῴη**, γέλωτ' **ἂν ὄφλοι** πρὸς ἡμᾶς, εἰ τοιαῦτ' **ἐργάζοιτο**, οἷα[4] ἦν ἀφ' ὧν τοὔνομ' ἔσχε. — 6. Ἧττον **ἂν φοβοῖτο** ἢ **θαρσοίη** μᾶλλον, εἰ αὑτῷ μηδὲν ἂν **συνειδείη** κακὸν ποιήσας. — 7. Σόλων ἐρωτηθεὶς πῶν **ἂν** μὴ **γίγνοιτο** ἀδίκημα ἐν τῇ πόλει, εἶπεν· « Εἰ ὁμοίως **ἀγανακτοῖεν** οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις. » — 8. Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἔγγυς προσελθών· « Ἡλίκος **ἂν ἦν** ὁ θόρυβος, εἶπεν, εἰ ἐγὼ τοῦτο **ἐποίουν**· » — 9. Οὐδεμίαν **ἕλοιο ἄν**, εἴπερ ἐμοὶ συμβούλῳ **χρῷο**, μᾶλλον ἢ ταύτην τὴν διατριβήν. — 10. Εἰ* μὲν Σωκράτης αὐτὸς **ἐποίει** τι φαῦλον, εἰκότως **ἂν ἐδόκει** πονηρὸς εἶναι· εἰ δ' αὐτὸς σωφρονῶν[5] **διετέλει**, πῶς **ἂν** δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν **εἶχεν**; — 11. Ἔργῳ ἐπεδείκνυτο ὅτι οὐκ **ἄν** ποτε **προοῖτο** αὐτούς, ἐπεὶ ἅπαξ φίλος αὐτοῖς ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους **γένοιντο**, ἔτι δὲ κάκιον **πράξειαν**. — 12. Ἵππος **εἰ** ἀγαθὸς μὲν **εἴη**, φοβερὸς δὲ μὴ[6] ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν **ἄν** τις αὐτὸν **ἀποκτείνειε** διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι **χρῷτο**, εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται. — 13. Εἰ ὁ Φίλιππος τότε ταύτην **ἔσχε** τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις, οὐδὲν **ἄν**, ὧν[7] νυνὶ πεποίηκεν, **ἔπραξεν**.

4. Οἷα se rapporte à un ταῦτα (*ces ouvrages*) sous-entendu comme antécédent de ἀφ' ὧν, et sujet de ἦν. — 5. Σωφρονῶν. Cf. *participe*. — 6. Φοβερὸς μή, *donnant à craindre que*. — 7. Ὧν = τούτων ἅ.

N. B. — La particule ἄν est toujours exprimée avec le verbe principal au *conditionnel*.

123. *Version.*

Une réponse adroite.

Πύρρος ἀκούσας[1] ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν, ἐκέλευσεν ἀχθῆναι μεθ' ἡμέραν[2] πρὸς αὐτὸν ἅπαντας· ἀχθέντων δέ, τὸν πρῶτον ἠρώτησεν εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ. Καὶ ὁ νεανίσκος· « Ταῦτα[3], ἔφη, ὦ βασιλεῦ· πλείονα δ' ἂν τούτων εἴπομεν, εἰ πλείονα οἶνον εἴχομεν. »

1. Le verbe ἀκούω a souvent le sens *d'entendre dire* (cf. en latin, *audio*). — 2. Μεθ' ἡμέραν, *après le jour,* c.-à-d. *le jour suivant.* — 3. Ταῦτα s.-ent. εἴπομεν, qui est exprimé plus loin.

124. *Version.*

Un prince parfait : Agésilas.

Τίς ἂν ἠθέλησεν ἀπειθεῖν ὁρῶν τὸν βασιλέα τοῖς νόμοις πειθόμενον; Τίς δ' ἂν ἡγούμενος μειονεκτεῖν[1] νεώτερόν[2] τι ἐπεχείρησε ποιεῖν, εἰδὼς τὸν βασιλέα νομίμως καὶ* τὸ κρατεῖσθαι[3] φέροντα; Ὃς καὶ* πρὸς τοὺς διαφόρους ἐν τῇ πόλει[4] ὥσπερ πατὴρ πρὸς παῖδας προσεφέρετο. Ἐλοιδορεῖτο μὲν γὰρ ἐπὶ τοῖς ἁμαρτήμασιν, ἐτίμα δ' εἴ τι καλὸν πράττοιεν, παρίστατο δ' εἴ τις συμφορὰ

1. Μειονεκτεῖν, *être dans une situation inférieure, n'être pas à sa place.* — 2 Νεώτερόν τι ποιεῖν (cf. le latin *novas res facere*), *faire une révolution.* — 3. Τὸ κρατεῖσθαι, le *fait d'être dominé, d'obéir.* — 4. Τοὺς διαφόρους ἐν τῇ πόλει, *ses adversaires politiques.*

N. B. — Lorsque εἰ marque la *répétition,* le verbe *principal* est à l'imparfait sans ἄν.

συμβαίνοι, ἐχθρὸν μὲν οὐδένα ἡγούμενος πολίτην, ἐπαινεῖν δὲ πάντας ἐθέλων, σῴζεσθαι δὲ πάντας κέρδος[5] νομίζων, ζημίαν δὲ τιθείς εἰ καὶ* ὁ μικροῦ[6] ἄξιος ἀπόλοιτο.

5. Κέρδος, ajouter : *comme,* en traduisant ce mot; de même devant ζημίαν. — 6. Μικροῦ est au neutre.

125. *Version.*

A un jeune imprudent qui veut se mêler de politique.

Οὐδ'[1] ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα εἰδείη ὧν προσδεῖται[2]. Ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δ' ἐστὶν[2] ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα τὸν τοῦ θείου[4] πρῶτον ἐπειράθης αὐξῆσαι; δεῖται δέ. Κἂν μὲν τοῦτον δύνῃ[5], καὶ* πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος[6] ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; Ὥσπερ, εἴ τις ἓν τάλαντον[7] μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν[8] ὅτι πλείω γε φέρειν οὐδ'[1] ἐπιχειρητέον[8] αὐτῷ;

1. Οὐδέ, *même pas.* — 2. Προσδεῖται a pour sujet οἶκος. — 3. Cette proposition se rattache à ἐπεί (μὲν... δέ). — 4. Ἕνα τὸν τοῦ θείου, *la seule maison de ton oncle.* — 5. Δύνῃ, s.-ent. αὐξῆσαι. — 6. Μὴ δυνάμενος équivaut à un conditionnel (d'où la négation μή). — 7. Τάλαντον, poids de 26 kg. environ. — 8. S.-ent. ἐστί.

N. B. — Dans les phrases proprement conditionnelles, la particule ἄν ne figure qu'auprès du verbe principal.

126. *Version.*

Socrate estime qu'un honnête homme doit s'occuper des affaires publiques.

Σωκράτης Χαρμίδην[1] ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε πραττόντων, ὀκνοῦντα δὲ προσιέναι τῷ δήμῳ καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι, « εἰπέ μοι, ἔφη, ὦ Χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας νικᾶν[2], καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι καὶ τὴν πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν, μὴ θέλοι[3] ἀγωνίζεσθαι, ποῖόν τινα[4] τοῦτον νομίζοις ἂν τὸν ἄνδρα εἶναι· — Δῆλον ὅτι[5], ἔφη, μαλακόν τε καὶ δειλόν. — Εἰ δέ τις[6] δυνατὸς ὢν τῶν τῆς πόλεως πραγμάτων ἐπιμελόμενος τήν τε πόλιν αὔξειν καὶ αὐτὸς διὰ τοῦτο τιμᾶσθαι, ὀκνοίη δὴ τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νομίζοιτο; — Ἴσως, ἔφη· ἀτὰρ πρὸς τί με ταῦτ' ἐρωτᾷς; — Ὅτι, ἔφη, οἶμαί σε δυνατὸν ὄντα ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα[7] ὧν[8] ἀνάγκη[9] σοι μετέχειν πολίτῃ γε ὄντι. »

1. *Charmide,* oncle maternel de Platon. — 2. Cf. la formule : Ὀλύμπια νικᾶν, *vaincre aux jeux Olympiques.* — 3. Μὴ θέλοι se rattache à εἴ τις. — 4. Ποῖόν τινα, *de quelle espèce* (*qualem*). — 5. Δῆλον ὅτι signifie simplement : *évidemment.* — 6. Εἰ δέ τις est à rapprocher de ὀκνοίη; grouper δυνατὸς ὢν αὔξειν... καὶ τιμᾶσθαι. — 7. Καὶ ταῦτα, *et cela :* formule d'affirmation : la phrase continue. — 8. Ὧν = τούτων (ἐπιμελεῖσθαι) ὧν. — 9. Ἀνάγκη, s.-ent. ἐστί.

N. B. — Le conditionnel *passé* est exprimé en grec par l'aoriste avec ἄν, uniquement.

VI. Emploi de ἄν dans la subordonnée, le verbe principal étant au futur ou à l'impératif. Gr., §§ 197, 205, 211.

127. *Exercice.*

1. **Quoi que** tu fasses, **quand** tu es embarrassé, consulte tes aînés. — 2. **Quand** tu auras considéré que rien[1] parmi (*gén. sans prép.*) les choses humaines n'est sûr, tu cesseras de te plaindre (*tournez :* te plaignant). — 3. **Si** vous obéissez à mes ennemis, plus tard, même **si** vous vous [en] repentez, vous n'y gagnerez plus rien [2]. — 4. **Si** un poète veut atteler un char de chevaux ailés et en faire monter d'autres sur la mer, nul ne l'empêchera; mais **si** l'histoire admet une telle fantaisie, elle ne sera rien d'autre qu'une poésie en prose. — 5. **S'il** plaît à certaines cités de tenter [d'] être injustes, toutes les autres se réfugieront vers nous. Quels hommes ne désireront pas avoir part à notre alliance, **quand** ils verront que nous sommes[3] à la fois les plus justes et les plus puissants? — 6. **Si** vous n'êtes pas persuadés de cela, vous ne voudrez pas vous appliquer aux affaires. — 7. **Quand** on nous traitera bien, nous traiterons bien à notre tour; **quand** on nous traitera mal, nous rendrons la réciproque. — 8. Comment sacrifierons-nous aux dieux, **quand** nous aurons accompli des actes impies, et comment combattrons-nous les ennemis, **si** nous nous tuons les uns les autres? — 9. Puisque vous m'avez choisi, j'essaierai de vous faire **tout** le bien **que je pourrai**. — 10. Crois que **là où** je

1. Μηδέν. — 2. *N'y rien gagner,* οὐδὲν πλείω ποιῶ. — 3. Tourner : *ils verront nous* (acc.) *étant.*

N. B. — *Nous ferons tout le mal que nous voudrons* se rendra par : ὅ τι ἂν βουλώμεθα κακὸν ποιήσομεν.

serai plus honoré, ce sera pour toi aussi un avantage. — 11. Ne fais ton ami d'aucun homme[4] avant d'avoir recherché comment il s'est conduit envers ses amis [d'] auparavant. — 12. Un accusateur ne produira aucun effet sur l'auditoire **avant que** l'accusé, ayant pu se défendre, se soit montré incapable de détruire les griefs antérieurement exprimés. — 13. Nous ne pardonnerons pas à des ennemis qui ont ravagé notre territoire, **avant qu'ils** aient réparé tous leurs crimes. — 14. Crois que tous les discours, **si** les actes **sont** absents, seront toujours chose vaine et creuse. — 15. **Quiconque a tué**, méritera d'être tué. — 16. **Partout où** vivent des homme, on célébrera toujours les vertus de ces héros.

4. *Aucun homme*, μηδείς.

128. *Version.*

1. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πόθ' ἃ χρὴ πράξετε; **ἐπειδὰν** τί[1] **γένηται;** ἐπειδάν, νὴ Δί', ἀνάγκη τις ᾖ; — 2. **Ἐὰν** τὰ παρεληλυθότα **μνημονεύῃς,** ἀμείνων γενήσει καὶ περὶ τῶν μελλόντων βουλεύσει. — 3. Οὐδὲν ἔτι ἐγὼ ἔσομαι, **ἐπειδὰν** τὸν ἀνθρώπινον βίον **τελευτήσω.** — 4. **Ὁπόσοι ἂν** ἔλθωσι, τούτους εὖ ποιήσαντες ἀποπέμπετε[2]. — 5. **Ἐὰν** τοῦτο διαπράξῃ[3], δυνατὸς μὲν ἔσει αὐτὸς τυγχάνειν ὅτου ἂν ἐπιθυμῇς, **ὅπου δ' ἂν** ᾖς, πανταχοῦ περίβλεπτος ἔσει. — 6. **Ἐάν** τις ἀφέλῃ τὰς φυλακάς, οὐκ οἴει καὶ* ἁρπάζειν ἐξουσίαν ἔσεσθαι[4] τῷ βουλομένῳ; — 7. Ἐντεῦθεν ἰσχύσετε, **ὅταν** εὐνομῆσθε καὶ μὴ

1. Le grec écrit : τίς τί εἶπε, m. à m. : *qui a dit quoi?* — 2. Impératif. — 3. 2e *personne*. — 4. Ἐξουσίαν ἔσεσθαι, et l'inf., *il sera permis de*.

N. B. — Ἐάν = εἰ + ἄν, *si;* — ὅταν = ὅτε ἄν, *quand;* — ὅστις ἄν, *quiconque,* sont employés avec *le subjonctif,* le verbe principal étant au *futur* ou à l'*impératif.*

καταλύησθε ὑπὸ τῶν παρανομούντων. — 8. Πᾶν **ὅ τε ἂν** μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. — 9. **Ἐάν** τέ τις πιέζηται τῶν λόγων, ὁ πλησίον βοηθήσει· **ἤν** τε εἷς πῃ δυνηθῇ τῶν λόγων ἐπὶ τὸ ἄκρον ἀναβῆναι, οὐδεὶς μενεῖ τῶν πολεμίων. — 10. Οἶδε Φίλιππος ἀκριβῶς ὅτι, οὐδ'[5] **ἂν** πάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν ἔσται αὐτῷ βεβαίως σῴζειν, **ἕως ἂν** ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρατῆσθε, ἀλλ' ὅτι, **ἐάν** ποτε συμβῇ τι πταῖσμα αὐτῷ, πάντες οἱ νῦν ἀδικούμενοι καταφεύξονται[6] πρὸς ὑμᾶς. — 11. Ἐγώ σε οὐκέτι ἀφήσω, **πρὶν ἄν μοι** ἃ ὑπέσχησαι[7] ἀποδείξῃς. — 12. Ἀκούσατέ μου πρὸς θεῶν, καὶ **ἐὰν** ἐγὼ μὲν φαίνωμαι ἀδικεῖν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, **πρὶν ἂν** δῶ δίκην· **ἂν** δ' ὑμῖν φαίνωνται ἀδικεῖν οἱ ἐμὲ διαβάλλοντες, οὕτως αὐτοῖς χρῆσθε ὥσπερ ἄξιον. — 13. **Ἔστ' ἂν** εἰς πατρίδα μόλητε, παρέξω ὑμῖν καὶ σιτία καὶ ποτά. — 14. « Οἱ ὁπλῖται, ἔφη ὁ στρατηγός, θᾶττον δραμοῦνται καὶ ἥδιον, **ἐὰν** καὶ* ἐγὼ πεζὸς ἡγῶμαι. »

15. **Ὅταν** εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήματα, ὡς ὁδοιπορεῖς.

5. Οὐδέ, *même pas*, porte sur ἔσται. — Ἔσται, *il sera permis.* — 6. Καταφεύγω, *se réfugier.* — 7. *Tu as promis.*

129. *Version.*

Recommandations d'un roi à ses fils.

Μετὰ θεοὺς καὶ* ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον[1] αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται,

1. Τὸ ἀεὶ ἐπιγιγνόμενον, *dont les générations se succèdent.*

N. B. — Chercher avant tout la proposition principale.

ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἐστὶν ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἅ, ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων[2] φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσι τοῖς ἀνθρώποις ἀναδείξει· ἐὰν δ' εἰς ἀλλήλους ἄδικόν τι φρονήσητε, ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα[3].

2. Τῶν ἀδίκων est au neutre. — 3. Προσήκοντα, *qui tient de près.*

130. *Version.*

Paroles d'un chef aux officiers sur leurs devoirs à la guerre.

« Μέγιστον ἔχετε καιρόν. Οἱ γὰρ στρατιῶται πάντες πρὸς ὑμᾶς βλέπουσι, κἂν[1] μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται· ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε[2] ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι. Ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι[3] τούτων. Ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί[4]· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ[5] ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων[6] καὶ προπονεῖν, ἤν που δέῃ. »

1. Κἄν = καὶ ἐάν. — 2. Φανεροὶ ἦτε, comme φαίνησθε. — 3. Τι, *en quelque chose.* — 4. Le *taxiarque* commande un bataillon, et le *lochage* une compagnie. — 5. Ἀξιοῦν δεῖ ὑμᾶς, *vous devez trouver juste de.* — 6. Τούτων se rapporte pour le sens à τοῦ πλήθους.

N. B. — Ἐάν, conjonction = *si,* s'écrit aussi ἄν ou ἤν, avec le subjonctif.

VII. Expression de la répétition dans les subordonnées et les relatives.

A. Répétition présente (*marquée par ἄν et le subjonctif.*) Gr., §§ 200*a*, 206*a*, 213*a*.

131. *Exercice.*

1. Il convient, **quand nous légiférons**, [de] veiller à faire des lois bonnes et utiles à l'État; d'autre part, **quand nous avons légiféré**, [il convient d'] obéir aux lois établies[1]. — 2. La race des cigales, sitôt née, chante **jusqu'à ce qu'elle meure**. — 3. **Un homme** qui[2], enseignant **tout ce qu'il a**[3] [de] bon à quelqu'un qu'[4] **il connaît** [comme] étant d'un heureux naturel, fait [de celui-ci] un ami, accomplit le devoir d'un honnête citoyen. Pour moi, **si** j'ai quelque chose [de] bon, j'[en] fais part à d'autres et je pense avoir fait un grand gain, **si j'ai acquis** un ami. — 4. Tous ceux qui sont présents auprès de vous louent **tout ce que vous dites et tout ce que vous faites**. — 5. Quoi **que ce soit que** l'on[5] **reçoive** d'un tyran, on ne croit pas le tenir **avant** d'être[6] hors de sa main. — 6. **Partout où nous venons** sans trouver[7] des vivres à acheter[8], soit dans

1. *Établi,* κείμενος. — 2. *Un homme qui,* ὅστις. — 3. *Tout ce qu'il a :* employer ὅ τι, en marquant la répétition. — 4. *Qu'il :* employer ὅς, en marquant la répétition. — 5. *On,* τις. — 6. Tourner : *avant que l'on soit.* — 7. Tourner : *étant venus nous ne trouvons pas* (μή). — 8. *Trouver des vivres à acheter,* ἀγορὰν ἔχω.

N. B. — Ὅτε + ἄν donne ὅταν; — εἰ + ἄν donne ἐάν.

une terre barbare, soit dans une terre grecque, nous prenons le nécessaire, non par violence, mais par nécessité. — 7. Il est loisible aux [gens] vigoureux de violenter **ceux qu'ils veulent**, mais les débiles ne peuvent même pas se défendre **quand ils sont attaqués**. — 8. Il est rare de voir un général ne pas vouloir[9] prendre une ville, **quand il pense** la ravager, ou s'affliger, **quand il est vainqueur** dans une guerre contre les Grecs. — 9. **Lorsque** les athlètes **ont été**[10] plus forts que des gens qui ne sont pas du métier, cela ne les satisfait guère ; mais **lorsqu'ils ont été** inférieurs à des rivaux, cela les afflige. — 10. Mes amis trouvent[11] une jouissance agréable et facile à manger et à boire : ils attendent[12] **jusqu'à ce qu'ils en aient envie**. — 11. Le dieu de Delphes, **si quelqu'un lui demande** comment il peut[13] être agréable aux dieux, répond : « D'après la loi[14] de la cité ». — 12. La reine des abeilles sait et reçoit **ce que** chacune d'elles **apporte**, et le met en réserve **jusqu'à ce qu'il faille** [l'] utiliser. — 13. Il faut qu'un jeune homme d'un bon naturel ne cherche pas [à] commander aux autres **avant d'avoir pris** un maître qui dirige[15] sa propre pensée.

9. Tourner : *tu verrais rarement un général ne voulant pas ou s'affligeant.* — 10 Employer γίγνομαι. — 11. Tourner : *est à mes amis une jouissance... des aliments et boissons.* — 12. Ἀνέχομαι. — 13. Cf. Gr., § 93. — 14. *D'après la loi :* rendre simplement par le datif. — 15. *Un maître qui dirige,* tourner : *le devant diriger.*

132. *Version.*

1. Ποίει[1] μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις[2], **ὅταν** σοι καιρὸς **ᾖ**. — 2. Γελᾷ ὁ μῶρος **κἂν**[3] τι μὴ γελοῖον **ᾖ**. —

1. Regarder l'accent. — 2. S.-ent. ὀργὴν ἔχειν. — 3. Κἄν = καὶ ἐάν.

N. B. — Ὅ τι ἄν et le subj. a le sens de : *quoi que ce soit que.*

3. Τὸν οἶνον **ἤν**[4] **πίνῃ** τις μετρίως, τὸ σῶμα ὤνησε[5], τὴν δὲ ψυχὴν οὐκ ἔβλαψεν· **ἢν** δὲ **πίνῃ** πρὸς ὑπερβολὴν καὶ ἤδη μεθύσκηται, αἰσχρὰ πράττει, καὶ γελοῖον θέαμα τοῖς ἄλλοις παρέχει. — 4. **Ὅταν τελευτήσω,** τὸ ἐμὸν σῶμα μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, ἀλλ' ὡς* τάχιστα τῇ γῇ ἀπόδοτε. — 5. **Ὅταν βούληται** Θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ποιεῖ· **ὅταν** δὲ **μέλλῃ** κακῶς πρᾶξαι πόλιν, ἐξαιρεῖ τοὺς ἄνδρας τοὺς ἀγαθούς. — 6. Ἐπεὶ μεμνῆσθαι[6] δεῖ τινων ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον· **ἂν** τὰ οἰκεῖα ἁμαρτήματα **μνημονεύσωμεν,** οὐδέποτε τὰ ἀλλότρια λογιούμεθα. —

7. **Ἐὰν** καλὸν **ἔχῃς** σῶμα καὶ ψυχὴν κακήν,
καλὴν ἔχεις ναῦν καὶ κακὸν κυβερνήτην.

8. **Ἐὰν** ὑμῶν αὐτῶν **ἀμελῆτε,** καὶ μὴ **θέλητε** ὥσπερ κατ' ἴχνη κατὰ τὴν δικαιοσύνην ζῆν, **ὅ τε ἂν πράττητε,** οὐδὲν πλέον ποιήσετε. — 9. Ἤκουσα Δημώνακτός ποτε πρός τινα τῶν νόμων ἔμπειρον ταῦτα λέγοντος, ὅτι κινδυνεύουσιν[7] ἄχρηστοι εἶναι οἱ νόμοι, **ἄν τε** πονηροῖς, **ἄν τε** ἀγαθοῖς **γράφωνται·** οἳ μὲν γὰρ οὐ δέονται νόμων, οἳ δ' ὑπὸ[8] νόμων οὐδὲν βελτίους γίγνονται.

4. Ἤν (*remarquer l'accent*) = ἐάν. Forme à retenir. — 5. *Aoristes* d'habitude, équivalant au *présent*. — 6. Parfait de μνάομαι. — 7. Κινδυνεύω et l'inf., *risquer de, avoir l'air de*. — 8. Ὑπό, et le gén., *par l'effet de*.

N. B. — Après *si, quand, qui,* la particule ἄν, jointe au subjonctif, indique souvent la *répétition* (ou la *généralité*) du fait *dans le présent*. Ainsi ὅταν, ἐάν, ὅστις ἄν.

133. *Version.*

1. Πιστοὺς ἡγοῦ, μὴ τοὺς ἐπαινοῦντας πᾶν **ὅ τε ἂν ποιῇς** καὶ **λέγῃς**, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις[1] ἐπιτιμῶντας. — 2. Τοῦθ' ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι **ᾧ ἂν**[2] ἑκόντες[3] **ἕπωνται** καὶ ἐν τοῖς δεινοῖς παραμένειν **ἐθέλωσιν**. — 3. Νομίζω ἀγαθὸν πολίτην εἶναι, **ὃς ἂν** καὶ σώματός τι καὶ τῆς οὐσίας **πρόηται**· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος τὰ τῆς πόλεως δι' αὑτὸν βούλοιτο ὀρθοῦσθαι. — 4. **Ἕως ἂν σῴζηται** τὸ σκάφος, τότε χρὴ καὶ ναυτὴν καὶ κυβερνήτην προθύμους εἶναι, καὶ σκοπεῖν ὅπως[4] μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψει· **ἐπειδὰν** δὲ ἡ θάλαττα **ὑπερέχῃ**, μάταιος ἡ σπουδή. — 5. Σέβεσθαι χρὴ τὴν πατρίδα καὶ ποιεῖν **ἃ ἂν κελεύῃ**, καὶ πάσχειν **ἐάν** τι **προστάττῃ** παθεῖν, ἡσυχίαν ἄγοντα[5]. — 6. Οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίγνονται πρὸς **ἃν**[6] **μελετήσωσι** καὶ ῥᾷον αὐτὰ φέρουσι.

7. Οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; **ὅταν πίνωσιν** ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.

1. Τοῖς ἁμαρτανομένοις, au neutre. — 2. Ὧ : à ce relatif se rattachent ἕπωνται et παραμένειν. — 3. Ἕκοντες, s.-ent. *les sujets*. — 4. Σκοπέω ὅπως et futur, *veiller à ce que*. — 5. Ἄγοντα se rapporte à τινα enclitique sous-entendu, sujet des infinitifs ποιεῖν et πάσχειν. — 6. Ἃν (remarquer l'esprit) = ἃ ἄν.

N. B. — Se garder toujours de confondre ἄν, conjonction (= *si* et le subj.) — et ἄν, particule.

134. *Version.*

Le bœuf Apis.

Ὅταν ὁ Ἆπις τελευτήσας ταφῇ[1] μεγαλοπρεπῶς, ζητοῦσιν οἱ περὶ ταῦτ' ὄντες ἱερεῖς μόσχον, ἔχοντα κατὰ τὸ σῶμα παράσημα τὰ παραπλήσια τῷ προϋπάρξαντι. Ὅταν δ' εὑρεθῇ, τὰ μὲν πλήθη τοῦ πένθους ἀπολύεται· τῶν δ' ἱερέων οἷς[2] ἐστιν ἐπιμελές, ἄγουσι τὸν μόσχον τὸ μὲν πρῶτον εἰς Νειλούπολιν[3], ἐν ᾗ τρέφουσιν αὐτὸν ἐφ' ἡμέρας τετταράκοντα. Ἔπειτα εἰς ναῦν, οἴκημα κεχρυσωμένον ἔχουσαν, ἐμβιβάσαντες, ὡς θεὸν ἀνάγουσιν εἰς Μέμφιν. Ἐν δὲ τετταράκοντα ἡμέραις μόνον ὁρῶσιν αὐτὸν αἱ γυναῖκες· τὸν δ' ἄλλον χρόνον ἅπαντα κεκωλυμένον ἐστὶν[4] εἰς ὄψιν αὐτὰς ἔρχεσθαι τούτῳ τῷ θεῷ.

1. Ταφῇ, de ἐτάφην, *aor 2. pass.* de θάπτω, *ensevelir.* — 2. Οἷς, *ceux à qui.* — 3. *Nilopolis* = (*ville du Nil*). — 4. Κεκωλυμένον ἐστί, *il est interdit.*

135. *Version.*

Les rois de Perse et l'agriculture.

Φασὶ τὸν Περσῶν βασιλέα, ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι ἐπιμελήμασι γεωργίαν τε καὶ πολεμικὴν τέχνην, τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι. Ὅταν γὰρ τόπον τινὰ διελαύνῃ, οὓς[1] μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην[2] τε τὴν χώραν τιθέντας καὶ πλήρη δένδρων τε καὶ καρπῶν παρεχομένους, τούτοις χώραν ἄλλην προστίθησι· οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέλειαν, τούτους δὴ κολάζων καὶ παύων τῆς ἀρχῆς[3], ἄρχοντας ἄλλους καθίστησι.

1. La proposition relative est placée avant l'antécédente. Cf. le latin. — 2. Συνοικουμένην, *bien peuplée.* — 3. Παύων τῆς ἀρχῆς, *destituant.*

B. Répétition passée (marquée par l'optatif).
Gr., §§ 200 б, 206 б, 213 б.

136. *Exercice.*

1. **Si** les ennemis **pouvaient** les voir, ils chantaient et dansaient — 2. **Quand ils voyaient** les chars à faux, ils s'écartaient; et quand les chars **étaient passés**[1], ils reformaient leurs rangs. — 3. **Quand** les soldats **étaient** au milieu des dangers, ils obéissaient volontiers à ce général énergique; mais **quand** ils **étaient** hors de péril et qu'ils **pouvaient** passer au service d'un autre chef, beaucoup l'abandonnaient. — 4. Les soldats, allant le long des postes, appelaient le général, **là où** un général **était** sauf; le lieutenant, **là où** le général **avait péri**[2]; le lochage, où un lochage était sauf. — 5. **Partout où**[3] **était** un endroit resserré, les ennemis empêchaient le passage; mais **quand il les apercevait,** Xénophon tournant leur position, dégageait la route. — 6. **S'il voulait** avoir un entretien avec le roi, celui-ci toujours avait quelque prétexte et se dérobait. — 7. Ils ne les renvoyaient jamais **avant de leur avoir servi** un déjeuner. — 8. Vous connaissez tous quel était Chéréphon, et combien ardent, **quoi qu'il entreprît.** — 9. Cyrus avait à sa disposition une foule de gens qui voulaient[4] courir des dangers, **dans** [tous] **les cas** où on pensait que Cyrus [en]

1. *Étaient passés,* employer l'aoriste. — 2. Tourner : *d'où il était parti* (aor. de οἴχομαι). — 3. *Partout où,* ὅπῃ. — 4. Tourner : *une foule des voulant.*

N. B. — On remarquera, une fois de plus, que le grec, ami de la précision, distingue dans le passé un fait unique d'un fait répété.

serait témoin. — 10. Les soldats de Xénophon montraient aux enfants arméniens, comme à des muets, **tout ce qu'il fallait faire**. — 11. Cyrus [n'] approchait de son grand-père [que] **s'il le voyait** inoccupé et **quand** [c'] était le moment favorable. — 12. Ces femmes suppliaient **tous ceux qu'elles rencontraient** de ne pas[5] fuir [en] les abandonnant[6], mais de défendre leurs enfants et elles-mêmes.

5. Nég. μή. — 6. Part. à l'acc.

137. *Version.*

1. **Ὅτε ἀθροισθεῖεν** οἱ πρῶτοι ἄνθρωποι, ἠδίκουν ἀλλήλους, ἅτ'[1] οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην. — 2. **Εἴ** τις αὐτῷ **δοκοίη** τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἔπαιεν. — 3. **Οὓς ἴδοι** εὐτάκτως ἰόντας, οἵτινες εἶεν ἠρώτα καί, **ἐπεὶ πύθοιτο**, ἐπῄνει. — 4. Οἱ γνώριμοι τοῦ Σωκράτους περιέμενον ἑκάστοτε **ἕως ἀνοιχθείη** τὸ δεσμωτήριον· **ἐπειδὴ** δ' **ἀνοιχθείη**, ᾖσαν παρὰ τὸν Σωκράτη. — 5. **Ὁπότε** ἐγγύτατα **γένοιντο**, προσῄλαυνον ἀλλήλοις καὶ ἠκροβολίζοντο πολλάκις μεχρὶ ἑσπέρας. — 6. Οἱ ὄνοι οἱ ἄγριοι, **ἐπεί** τις **διώκοι**, προδραμόντες ἕστασαν[2], καὶ πάλιν **ἐπεὶ πλησιάζοιεν** οἱ ἵπποι, ταὐτὸν ἐποίουν καὶ οὐκ ἦν[3] λαβεῖν. — 7. Ἐπαμεινώνδας ἓν εἶχε τριβώνιον καὶ **εἰ** τοῦτο εἰς κναφεῖον **διδοίη**, αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. — 8. **Εἴ** τις αὐτῷ προστάξαντι

1. Ἅτε, *en tant que*. — 2. Ἕστασαν, *s'arrêtaient*. — 3. Ἦν, cf. ἔστι *.

N. B. — Après *si*, *quand*, *qui*, pour marquer la *répétition de l'action passée* (= *toutes les fois que*), le grec emploie l'*optatif*.

καλῶς **ὑπηρετήσειεν**, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. — 9. Ἀγησίλαος τότε μάλιστα ἔχαιρεν, **ὁπότε** τάχιστα τυχόντας ὧν δέοιντο[4] **ἀποπέμποι**. — 10. Εὐαγόρας τοσοῦτον ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥστε, **ὁπότε** μὲν αὐτὸν **ὁρῷεν** οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς· **ὁπότε** δ' εἰς τοὺς τρόπους **ἀποβλέψειαν**, οὕτω σφόδρα πιστεύειν, ὥστε, καὶ **εἴ** τις ἄλλος **τολμῴη** περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν. — 11. Οὐδέποτε ὁ Σωκράτης ἔπινε, **πρὶν διψῴη**. — 12. Οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους, καὶ τῶν ἄλλων Ἑλλήνων **ἐπειδή** τινές που **διασταῖεν**, πρὸς τούτους ἤδη ἐχώρουν. — 13. Οὐδέποτε ποιητὴς πρότερόν τι ποιεῖν οἷός τ' ὢν ἐφάνη, **πρὶν** ἔνθεος **γένοιτο**.

4. Δέοιντο, à rendre par l'impf. de l'ind.

138. *Version.*

Cyrus et son grand-père.

Ἀστυάγου ἀσθενήσαντος, οὐδέποτε ὁ Κῦρος ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός[1] τε ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο μὴ[2] οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτός, εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα[3] ἀνεπήδα, ὑπηρετήσων ὅ τι οἴοιτο χαριεῖσθαι, ὥστε[4] παντάπασιν ἀνεκτήσατο[5] τὸν Ἀστυάγην.

1. Δῆλος ἦν, tour personnel équivalant à δῆλον ἦν. — 2. Μή correspond à *ne* latin après *timeo*. — 3. Ἀοκνότατα, superlatif de ἀόκνως. — 4. Ὥστε, *de telle sorte que*. — 5. Ἀνακτάομαι (acc.), *gagner l'affection de*.


139. *Version.*

La cour de Cyrus.

῾Ο Κῦρος, ὁπόσοι ὄντες ἱκανοὶ ἄλλων ἐργαζομένων τρέφεσθαι[1] μὴ παρεῖεν ἐπὶ τὰς θύρας[2], τούτους[3] ἐπεζήτει· νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν ἐθέλειν οὔτε κακὸν οὔτε αἰσχρὸν οὐδὲν πράττειν, καὶ διὰ τὸ παρ' ἄρχοντι εἶναι, καὶ διὰ τὸ εἰδέναι ὅτι ὁρῷντ' ἄν, ὅ τι[4] πράττοιεν, ὑπὸ τῶν βελτίστων· οἳ δὲ μὴ παρεῖεν, τούτους ἡγεῖτο ἢ ἀκρατείᾳ[5] τινι ἢ ἀδικίᾳ ἢ ἀμελείᾳ ἀπεῖναι.

1. Ὄντες... τρέφεσθαι forme une expression qui signifie à peu près : *les riches* (*d'autres travaillent pour eux*, ἄλλων ἐργαζομένων). — 2. Τὰς θύρας, *les portes du palais, la cour.* — 3. Construire : τούτους ὁπόσοι. — 4. Ὅ τι, *quidquid.* — 5. Ἀκρατείᾳ, *goût de la débauche.*

N. B. — Ἄν particule, placée près d'un infinitif, lui donne le sens d'un conditionnel.



Cl. Boissonnas.

ATHÉNIENS S'AMUSANT A EXCITER UN CHIEN ET UN CHAT.

VIII. Proposition infinitive. Gr., § 181, 220-221.

140. *Exercice.*

1. Ils pensaient **que** le roi **combattrait**[1] ce jour-là. — 2. Si nous sommes vainqueurs[2], il faut **que nous rendions** nos amis maîtres de ces pays. — 3. Le sophiste Hippias disait **qu'il avait** lui-même **taillé** ses chaussures, **qu'il avait tissé** son manteau et sa tunique, qu'enfin tout ce qu'il avait sur sa personne[3] **était** son œuvre. — 4. Puisque nous jugeons **que** les maux les plus terribles nous **seraient arrivés**[4], nous devons estimer **que** ceux qui sont morts pour nous **méritent** les plus grands éloges. — 5. Cet homme, ceux qui espèrent **que** les affaires de la ville [pourront] **aller mieux**[5] souhaitent tous **qu'**[il] **périsse**. — 6. Alors [ce] fut un grand tumulte : les Grecs pensaient tous **que** les ennemis **allaient tomber**[6] sur eux qui étaient en désordre. — 7. La plupart pensaient **qu'**en étant hommes de bien, **ils pourraient obtenir**[7] près de Cyrus une plus digne considération qu'auprès du roi. — 8. Tu es insensé, si tu crois **que** votre courage **peut vaincre**[8] une force mille fois plus grande. — 9. Un Béotien répondit **que**[9] **c'était folie de prétendre trouver**[10] le salut autrement qu'en persuadant le roi. — 10. Il faut **que** les chefs **soient** plus vigilants, et les subordonnés plus disciplinés, qu'auparavant. — 11. Les ennemis ont pensé **qu'**ayant des généraux **nous étions** capables **de** triompher à la guerre, mais **que** privés de chefs **nous péririons** par l'anarchie et le désordre. — 12. Nous trouvons

1. Inf. futur. — 2. Ἢν et subj. aor. de νικάω, *vaincre*. — 3. Traduire : *autour* (περί, acc.) *du corps*. — 4. Employer γίγνομαι. — 5. Rendre par l'inf. aor. avec ἄν. — 6. *Allaient tomber*, inf. fut. de *tomber*. — 7. Tournez : *ils obtiendraient*, avec ἄν. — 8. Tournez : *vaincrait*, avec ἄν. — 9. Tourner : *que* (ὅτι) *était fou quiconque disait* [*pouvoir*] *trouver* (employer ἄν). — 10. *Trouver*, τυγχάνω, gén.

juste **qu**'étant nous aussi des Grecs, **nous soyons** bien **traités** par vous qui êtes des Grecs, et n'**éprouvions** aucun mal. — 13. Les soldats pensèrent **que**, s'ils[11] choisissaient un seul chef, ce [chef] unique **conduirait** mieux l'armée, **qu**'avec lui, s'il fallait se cacher, **ils** le **feraient** mieux[12], et **que**, s'il fallait prendre les devants, **ils arriveraient** moins en retard. — 14. Il ne me semble pas beau **que** des gens qui disent[13] être excellents **commettent** des actes plus injustes que les sycophantes.

11. *Si*, εἰ.*[1] — 12. Tournez : ils *seraient mieux cachés* (κρύπτω). — 13. Tournez : *des disant.*

141. *Version.*

1. Σαυνιτῶν[1] μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς Μάνιον Κούριον[2] καὶ χρυσίον διδόντων, ἔτυχεν* ἐν χύτρᾳ ἕψων γογγυλίδας[3]. Ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις οὐδὲν χρυσίου **δεῖσθαι**, τοιοῦτον δεῖπνον δειπνῶν· αὑτῷ δὲ βέλτιον **εἶναι** τοῦ χρυσίον ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων. — 2. Ἀγησίλαος βασιλέως ἀγαθοῦ τοῦτο ἔργον ἐνόμιζεν **εἶναι** τὸ τοὺς ἀρχομένους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν[4]. — 3. Ὁ Σωκράτης ἔλεγεν· « Ὅταν* μὲν ἐπαινῶσί με πολλοί, τότε νομίζω οὐδενὸς ἄξιος **εἶναι**· ὅταν δ' ὀλίγοι, σπουδαῖος ἄνθρωπος[5]. — 4. Ἐν τῇ Πλαταιϊκῇ μάχῃ, οἱ Ἀθηναῖοι, Τεγεάταις περὶ τάξεως ἐρίσαντες, ἠξίουν αὐτοὶ τὸ εὐώνυμον κέρας **ἔχειν**, πολλὰ τοὺς αὑτῶν προγόνους ἐγκωμιάζοντες. Παρελθὼν δ' ὁ Ἀριστείδης εἶπεν· « Ἥκομεν[6] οὐ τοῖς

1. *Les Samnites.* — 2. *Manius Curius.* — 3. *Des raves.* — 4. Ποιεῖν se construit avec deux accusatifs. — 5. S.-ent. νομίζω εἶναι. — 6. Le verbe ἥκω a le sens de : *je suis venu.*

N. B. — Où le latin écrit : *credo me esse bonum*, le grec (voisin du français *je crois être bon*) écrit : νομίζω εἶναι ἀγαθός.

συμμάχοις στασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς ἄνδρας ἀγαθοὺς τῇ Ἑλλάδι παρέξοντες. » — 5. Βασιλέας καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας Σωκράτης ἔφη **εἶναι**, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων[7] αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. — 6. Τὸν χρηστὸν καὶ ἄγαθον ἄνδρα δεῖ τῶν μὲν προγεγενημένων **μεμνῆσθαι**, τὰ δ' ἐνεστῶτα **πράττειν**, περὶ δὲ τῶν μελλόντων **φυλάττεσθαι**. — 7. Οἱ πάλαι[8] Ἀθηναῖοι δεινότερον ἐνόμιζον **εἶναι** κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν[9] ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν. — 8. Νομίζω, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν **στασιάζειν**. — 9. Ὁπλίτας πολλούς μοι δοκεῖ **χρῆναι** ἡμᾶς **ἄγειν** καὶ ἡμῶν αὐτῶν[10] καὶ τῶν ξυμμάχων. — 10. Οἱ Πέρσαι δικάζουσι τοὺς ἀχαρίστους· οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ* περὶ θεοὺς **ἂν** μάλιστα ἀμελῶς **ἔχειν***. — 11. Ἐπίστευον οἱ πολέμιοι, σπεισαμένου αὐτοῦ, μηδὲν **ἂν** παρὰ τὰς σπονδὰς **παθεῖν**. — 12. Οἱ βάρβαροι ἔφασαν **ἀποδώσειν** τοὺς νεκροὺς ἐφ' ᾧ[11] μὴ κάειν τὰς οἰκίας.

7. Ὁ τυχών, *le premier venu.* — 8. Οἱ πάλαι, Cf. Gr., § 15, 4°. — 9. Κακῶς ἀκούειν, *avoir mauvaise réputation, être méprisé.* — 10. Ἡμῶν αὐτῶν, génitif partitif qui se rattache à πολλούς. — 11. Ἐφ' ᾧ, inf., *à condition de.*

N. B. — La particule ἄν, jointe à l'infinitif, lui donne le sens du conditionnel.

142. *Version.*

Une riposte de l'orateur Lysias.

Λυσίας τινὶ δίκην ἔχοντι συγγράψας[1] ἔδωκεν· ὁ δὲ πολλάκις ἀναγνοὺς ἧκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων τὸ μὲν πρῶτον αὐτῷ διεξιόντι θαυμαστὸν φανῆναι τὸν λόγον, αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι παντελῶς ἀμβλὺν καὶ ἄπρακτον· ὁ δὲ Λυσίας γελάσας· « Τί οὖν, εἶπεν, οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸς ἐπὶ τῶν δικαστῶν; »

1. Lysias était *logographe,* c'est-à-dire qu'il composait des discours pour les clients, qui les prononçaient.

143. *Version.*

Réponse d'un chef grec à un envoyé du roi des Perses : ce chef ne veut pas capituler.

« Ἐγώ[1], εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας[2] βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα· εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως, συμβουλεύω σῴζεσθαι ὑμῖν ὅπῃ δυνατόν. » — Κλέαρχος[3] δὲ πρὸς ταῦτα εἶπεν· « Ἀλλὰ[4] ταῦτα μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασίλει

1. C'est l'envoyé des Perses qui parle le premier. — 2. Πολεμοῦντας : cet accusatif renvoie à ὑμῖν. — 3. *Cléarque* commandait les Grecs au début de l'expédition des Dix Mille. — 4. Ἀλλά, *eh bien!*

N. B. — Bien remarquer qu'après un verbe λέγω, le grec emploie librement soit le tour par ὅτι, soit la proposition infinitive.

φίλους εἶναι, πλείονος ἂν ἄξιοι[5] εἶναι[6] φίλοι ἔχοντες τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ, εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ παραδόντες. »

5. Πλείονος ἄξιοι, *plus précieux* (m. à m. *dignes de plus*). — 6. Ἂν εἶναι se rattache à οἰόμεθα; de même ἂν πολεμεῖν.

144. *Version.*

Pensée de Socrate sur les sacrifices qui plaisent aux dieux.

Θυσίας θύων μικρὰς ἀπὸ μικρῶν[1] Σωκράτης οὐδὲν ἡγεῖτο μειοῦσθαι[2] τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων. Οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἂν ἔχειν[3], εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρον· πολλάκις γὰρ[4] ἂν αὐτοῖς τὰ παρὰ[5] τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα· οὔτ' ἂν τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα τοῖς θεοῖς ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαίρειν.

1. Ἀπὸ μικρῶν, s.-ent. χρημάτων. — 2. Μειοῦσθαι et le gén. de comparaison, *avoir moins de valeur que*. — 3. Καλῶς ἔχειν τοῖς θεοῖς, *être bien* (*convenable*) *de la part des dieux*. — 4. Γάρ, *car en ce cas*. — 5. Παρά et le gén., *venant de*.

N. B. — La particule ἄν, jointe à l'infinitif, lui donne le sens du conditionnel.

IX. Liberté de l'infinitif. Gr., § 224.

145. *Exercice.*

1. Il arriva à Solon [d']**être,** à ce que disent les démocrates, la victime et, à ce que disent ceux qui veulent le calomnier, le complice de ses amis. — 2. Ceux qu'il voyait zélés pour la justice, il les **faisait vivre** plus richement que ceux qui recherchaient le gain par le moyen de l'injustice. — 3. O grand Zeus, je t'[en] prie, accorde-moi [de] **vaincre,** en [leur faisant du bien, ceux qui m'honorent. — 4. Qu'est-ce qui peut m'empêcher[1] [d'] **être tiré au** sort parmi[2] les neuf archontes? — 5. Théramène invoquait les dieux et les hommes, [**leur demandant de**] **regarder** ce qui se passait. — 6. De toutes les cités, Athènes est naturellement au plus haut point faite[3] [**pour**] **se développer** dans la paix. — 7. Les Thébains, en échange de leurs services[4], accordèrent aux Athéniens [de] les **commander;** et les Lacédémoniens leur permirent[5] [de] **disposer**[6] de l'hégémonie comme ils voulaient. — 8. Socrate dit cette dernière parole à ses juges : « Il est l'heure [**de**] **partir,** pour moi vers la mort, pour vous vers la vie[7] ». —

1. Κωλύω. — 2. *Parmi :* rendre simplement par le génitif *des neuf archontes.* — 3. *Être naturellement fait pour,* πέφυκα et l'inf. — 4. *En échange de leurs services,* tournez : *obligés* (εὐεργετέω-ῶ). — 5. Ἐπιτρέπω. — 6. *Disposer,* inf. aor. de τίθεμαι; *de,* περί et gén. — 7. Tourner : *à moi devant mourir, à vous devant vivre.*

N. B. — La liberté de construction de l'infinitif en grec, est peut-être ce qui distingue le plus la syntaxe grecque de la syntaxe latine.

Ὁ Θεμιστοκλῆς ἔτι παῖς ὢν ὁμολογεῖται φορᾶς[1] μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετός, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός[2]. Ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γενόμενος, οὐκ ἔπαιζεν, οὐδ' ἐρρᾳθύμει καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους[3] τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. Ἦσαν δ' οἱ λόγοι κατηγορία τινος ἢ συνηγορία τῶν παίδων[4]. Ὅθεν εἰώθει λέγειν ὁ διδάσκαλος· « Οὐδὲν ἔσει, παῖ, σὺ μικρόν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν. »

1. *Besoin de mouvement, ardeur.* — 2. *Se destinant à la vie publique.* — 3. Λόγους est complément des deux participes. — 4. Construire : κατηγορία ἢ συνηγορία τινὸς τῶν παίδων.

21. L'homme n'a pas la connaissance de l'avenir.

Οἶμαι ἅπασιν εἶναι φανερὸν ὅτι τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστίν[1]· ἀλλὰ τοσοῦτον ἀπέχομεν ταύτης τῆς φρονήσεως, ὥσθ' Ὅμηρος, ὁ μεγίστην δόξαν ἐπὶ σοφίᾳ σχών, καὶ[2] τοὺς θεοὺς πεποίηκεν ἐνίοτε βουλευομένους περὶ τῶν μελλόντων, οὐ τὴν ἐκείνων γνώμην εἰδώς, ἀλλ' ἡμῖν ἐνδείξασθαι βουλόμενος ὅτι τοῖς ἀνθρώποις ἕν τι τοῦτο[3] τῶν ἀδόξων ἐστίν.

1. Ἐστιν et le gén., *il appartient à.* — 2. Καί*, *même.* — 3. Τοῦτο est sujet et ἕν τι attribut.

N. B. — Le grec écrit : νομίζω εἶναι ἀγαθός, *je crois être bon.*

22. Un fou heureux.

Θράσυλλός τις παράδοξον ἐνόσησε μανίαν. Ἀπολιπὼν γὰρ τὸ ἄστυ[1] καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτοῦ[2] ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτά, καὶ αὖ πάλιν ἐξέπεμπε, καὶ τοῖς περισωζομένοις καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε. Χρόνον δὲ διετέλεσε πολὺν συνοικῶν τῷ ἀρρωστήματι τούτῳ. Ἐκ Σικελίας δ' ἀναχθεὶς ὁ ἀδελφὸς αὐτοῦ παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι[3] καὶ ἐπαύσατο[4] νοσῶν οὕτως. Ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς καὶ ἔλεγεν ἡσθῆναι οὐδέποτε τοσοῦτον ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις[5].

1. Athènes. — 2. Se rappeler la règle latine : *hic liber est Petri*. — 3. Infinitif rattaché librement à παρέδωκεν. — 4. Sujet : *Thrasylle*. — 5. Ἀποσωζομέναις se rattache à ἥδετο; μηδὲν αὐτῷ προσηκούσαις est une épithète de ταῖς ναυσίν.

23. Aux Enfers. Les ombres des philosophes Diogène et Antisthène vont voir la mine que font ceux qui descendent chez Hadès.

ΔΙΟΓΕΝΗΣ. — Ἀντίσθενες, σχολὴν ἄγομεν· ὥστε τί[1] οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου[2] περιπατήσοντες καὶ ὀψόμενοι τοὺς κατιόντας, οἷοί τινές εἰσι, καὶ τί ἕκαστος αὐτῶν ποιεῖ;

1. Τί, *pourquoi?* — 2. Εὐθὺ τῆς καθόδου, *droit vers la descente* (qui conduit aux Enfers).

N. B. — Observer de près l'emploi des négations, qui éclairent le sens.

ἈΝΤΙΣΘΕΝΗΣ. — Ἀπίωμεν, ὦ Διόγενες. Καὶ γὰρ ἂν ἡδὺ τὸ θέαμα γένοιτο[3], τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ καὶ ἱκετεύοντας ἀφεθῆναι[4], ἐνίους δὲ μόλις κατιόντας καὶ ὑπτίους ἀντερείδοντας[5].

ΔΙΟΓΕΝΗΣ. — Βαβαί, πολλοί γε[6] καὶ ποικίλοι καὶ πάντες δακρύοντες πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. Ἀλλὰ καὶ[7] ἱο πάνυ γεγηρακότες ὀδύρονται. Τί τοῦτ' ἄρα φίλτρον αὐτοὺς ἔχει[8] τοῦ βίου;

3. Ἂν γένοιτο, cf. Gr., 97. — 4. Ἀφεθῆναι, à rendre par l'infinitif présent. — 5. Ἀντερείδοντας, *résistant*. — 6. S.-ent. εἰσί. — 7. Ἀλλὰ καί, *mais en revanche*. — 8. Ἔχει, *tient*.

24. Intelligence d'un chien.

Πύρρος ὁ βασιλεύς, ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμένου[1], καὶ πυθόμενος τρίτην ἡμέραν[2] ἐκείνην ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν, τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ' ἑαυτοῦ κομίζειν. Ὀλίγαις δ' ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν καὶ πάροδος[3], καθημένου τοῦ βασιλέως, καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμε μετὰ φωνῆς καὶ θυμοῦ ἐπ' αὐτούς, καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν Πύρρον· ὥστε μὴ μόνον ἐκείνῳ δι' ὑποψίας, ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι τοὺς ἀνθρώπους γενέσθαι[4]· διὸ συλληφθέντες εὐθὺς καὶ

1. S-ent. ἀνδρός. — 2. Τρίτην ἡμέραν : c'est le tour latin, *jam tertiam diem* = depuis deux jours. — 3. *Un défilé*. — 4. Δι' ὑποψίας γενέσθαι, *in suspicionem venire*.

N. B. — Ne pas confondre l'optatif de concordance avec le conditionnel.

ἀνακρινόμενοι, μικρῶν τινων τεκμηρίων ἔξωθεν προσγενομένων, ὁμολογήσαντες τὸν φόνον, ἐκολάσθησαν.

25. Réponse de Socrate à un buveur trop délicat.

Λέγοντός τινος ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ ὃ πίνοι· « Ὅταν* ἄρ', ἔφη ὁ Σωκράτης, βούλῃ θερμῷ λούσασθαι, ἕτοιμον ἔσται σοι. — Ἀλλὰ ψυχρὸν ὥστε λούσασθαί ἐστιν. — Ἆρ' οὖν καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ καὶ λουόμενοι αὐτῷ; — Οὔ γε, μὰ τὸν Δία· ἀλλὰ καὶ πολλάκις τεθαύμακα ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται. — Πότερον δὲ τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν ἢ τὸ ἐν Ἀσκληπιοῦ[1]; — Τὸ ἐν Ἀσκληπιοῦ[2]. — Ἐνθυμοῦ οὖν ὅτι κινδυνεύεις[3] δυσαρεστότερος εἶναι τῶν τε οἰκετῶν καὶ τῶν ἀρρωστούντων. »

1. Τὸ ἐν (*s.-ent.* νεῴ) Ἀσκληπίου, *que l'eau qui est dans le temple d'Asclépios* (et que buvaient les malades). — 2. Entendez : ἐστὶ θερμότερον. — 3. Κινδυνεύω et l'inf. : *risquer de, avoir l'air de.*

26. Conseils à un prince.

Πλούτιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. Αὖξε δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις. Κτῶ δὲ αὐτῇ συμμάχους. Νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας ἑταίρους, τοὺς δέ φίλους τέκνα σεαυτοῦ, τοὺς δὲ παῖδας ὥσπερ τὴν σὴν ψυχήν, καὶ τούτους πάντας πειρῶ νικᾶν εὖ ποιῶν. Ἐὰν* γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μὴ[1] σοι δύνωνται

1. Οὐ μή et le subj., *il n'y a pas à craindre que.*

N. B. — Bien observer le jeu de μέν... δέ.

ἀντέχειν οἱ πολέμιοι. Κἂν* ταῦτα πάντα ποιῇς, εὖ ἴσθι, πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτήσει· εὐδαιμονῶν γὰρ οὐ φθονηθήσει.

27. Héra vante à Lêto, mère d'Artémis et d'Apollon, la supériorité de son fils Héphaestos.

« Ἥφαιστος μὲν ὁ χωλὸς ὅμως χρήσιμός γέ ἐστι, τεχνίτης ὢν ἄριστος, καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανόν· οἱ δὲ σοὶ παῖδες, ἡ μὲν αὐτῶν, ἀρρενικὴ[1] πέρα τοῦ μέτρου καὶ ὄρειος καὶ τὸ τελευταῖον[2] ἐς τὴν Σκυθίαν ἀπελθοῦσα, πάντες ἴσασιν οἷα ἐσθίει[3] ξενοκτονοῦσα καὶ μιμουμένη τοὺς Σκύθας αὐτούς, ἀνθρωποφάγους ὄντας. Ὁ δ' Ἀπόλλων προσποιεῖται μὲν πάντα εἰδέναι καὶ τοξεύειν καὶ κιθαρίζειν καὶ ἰατρὸς εἶναι καὶ μαντεύειν, καὶ καταστήσαμενος ἐργαστήρια τῆς μαντικῆς, τὸ μὲν ἐν Δελφοῖς, τὸ δ' ἐν Κλάρῳ καὶ ἐν Διδυμοις[4], ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ, λοξά ἀποκρινόμενος[5] ὡς ἀκίνδυνον εἶναι τὸ σφάλμα. »

1. Ἀρρενικός, ή, όν, *masculin*. — 2. Τὸ τελευταῖον, loc. adverbiale, *finalement*. — 3. Allusion fort exagérée au culte rendu en Tauride, à Artémis, dont la prêtresse devait immoler les étrangers; cf. *Iphigénie en Tauride* d'Euripide. — Les Scythes représentent pour les Grecs tous les peuples barbares qui avoisinent la mer Noire. — 4. *Delphes, Claros* (*Ionie*), *Didymes* (près de Milet) étaient des sanctuaires d'Apollon. — 5. Λοξά : Apollon était surnommé *Loxias*. — 6. Ὡς et prop. infinitive, *de telle sorte que*.

N. B. — L'accent permet de ne pas se tromper sur les homonymes.

28. Plaintes de la lune.

« Ἀπείρηκα[1] ἤδη, πολλὰ καὶ δεινὰ παρὰ[2] τῶν φιλοσόφων ἀκούουσα οἷς οὐδὲν ἕτερόν ἐστιν ἔργον ἢ τἀμὰ πολυπραγμονεῖν, τίς[3] εἰμι καὶ πηλίκη ἢ καὶ δι' ἥντινα αἰτίαν διχότομος ἢ ἀμφίκυρτος γίγνομαι. Καὶ οἳ μὲν κατοικεῖσθαί μέ φασιν, οἳ δὲ κατόπτρου δίκην[4] ἐπικρέμασθαι τῇ θαλάττῃ, οἳ δέ, ὅ τι ἂν[5] ἕκαστος ἐπινοήσῃ, τοῦτό μοι προσάπτουσι. Τὰ τελευταῖα δὲ καὶ τὸ φῶς αὐτὸ κλοπιμαῖόν τε καὶ νόθον εἶναί μοί φασιν, ἄνωθεν ἧκον παρὰ τοῦ Ἡλίου, καὶ οὐ παύονται[6] καὶ πρὸς τοῦτον, ἀδελφὸν ὄντα[7], μὲ συγκροῦσαι καὶ στασιάσαι[8] προαιρούμενοι. »

1. Ἀπείρηκα, *je suis excédée,* Gr., § 176. — 2. Παρά, *de la bouche de.* — 3. Τίς, inter. indir., *en se demandant qui...* — 4. Δίκην, *à la manière de :* le complément est avant. — 5. Ὅ τι ἄν, et le subj., *quoi que ce soit que.* Cf. Gr., 213. — 6. Grouper οὐ παύονται προαιρούμενοι, *ils ne cessent d'entreprendre de* (inf.). Cf. Gr., 231. — 7. Le Soleil ou Apollon est, comme Phœbé, fils de Lêto et de Zeus. — 8. Ces deux infinitifs sont employés transitivement.

29. Darius et les conjurés.

Ἡμερώτατον Δαρείου τοῦτο τὸ ἔργον ἀκούω[1], τοῦ παιδὸς τοῦ Ὑστάσπου. Ἀρίβαζος ὁ Ὑρκανὸς ἐπεβούλευσεν αὐτῷ μετὰ καὶ ἄλλων ἀνδρῶν οὐκ ἀφανῶν· ἦν δ' ἡ ἐπιβουλὴ ἐν κυνηγεσίῳ. Ἅπερ προμαθὼν ὁ Δαρεῖος οὐκ ἔπτηξεν, ἀλλὰ προστάξας αὐτοῖς λαβεῖν τὰ ὅπλα καὶ τοὺς ἵππους, ἐκέλευσεν αὐτοῖς διατείνασθαι

1. *J'entends dire = on raconte.*

N. B. — Οἳ μέν... οἳ δέ... = *les uns..., les autres.* Οἳ est ici démonstratif, non pr. relatif.

τὰ παλτά, καὶ δριμὺ ἐνιδών. « Τί οὖν οὐ δρᾶτε τοῦτο, εἶπεν, ἐφ' ὃ καὶ ὡρμήσατε; » οἱ δέ, ἰδόντες ἄτρεπτον ἀνδρὸς βλέμμα, ἀνεστάλησαν τὴν ὁρμήν[2]. Τὸ δέος δὲ αὐτοὺς κατέσχεν οὕτως ὥστε καὶ ἐκβαλεῖν τὰς αἰχμὰς καὶ ἀφάλασθαι[3] τῶν ἵππων καὶ προσκυνῆσαι Δαρεῖον καὶ ἑαυτοὺς παραδοῦναι ὅ τι[4] καὶ βούλοιτο πράττειν[5].

2. Τὴν ὁρμήν, acc. de relation. — 3. Chercher les temps du simple ἅλλομαι. — 4. Ὅ τι, *quidquid;* l'optatif marque la répétition de l'action. — 5. Πράττειν, *pour faire,* infinitif rattaché librement à παραδοῦναι.

30. L'ambition de Thémistocle.

Εἰσὶν οἱ λέγοντες ὅτι τὰ κοινὰ πράττειν ἀποτρέπων Θεμιστοκλέα ὁ πατὴρ ἐπεδείκνυ πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐρριμμένας καὶ παρεωραμένας, ὡς[1] δὴ καὶ πρὸς δημαγωγούς, ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν[2] ὁμοίως ἐχόντων[3].

Θεμιστοκλῆς δὲ λέγεται οὕτω παράφορος πρὸς δόξαν γενέσθαι, ὥστε[4], νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους[5] ὁρᾶσθαι τὰ πολλὰ[6] πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς[7] καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ τοῦ Μιλτιάδου τρόπαιον.

1. Ὡς et le gén. abs., *étant donné* (*à l'entendre*) *que.* — 2. Τῶν πολλῶν, *le peuple, la foule.* — 3. Cf. *Index,* ἔχω*. — 4. Οὕτω... ὥστε *et l'inf.* = *tam ut.* — 5. Σύννους, à rapprocher de πρὸς ἑαυτῷ. — 6. Τὰ πολλά, loc. adv., *la plus grande partie du temps.* — 7. Ὡς, et l'optatif de concordance (Gr., § 184), se rattache à λέγειν.

N. B. — Souvent le participe ἔχων, suivi d'un acc., peut se rendre par notre *avec.*

31. Cruelle épreuve.

Ἡμέρᾳ δεκάτῃ ἀφ' ἧς[1] παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι[2] Καμβύσης, καθίσας ἐς τὸ προάστειον τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον σὺν ἄλλοις Αἰγυπτίοις, διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς[3], ποιῶν τοιάδε· στείλας[4] αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουλείᾳ ἐξέπεμπεν ἐφ' ὕδωρ ἔχουσαν ὑδρεῖον, συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέως. Ὡς δὲ βοῇ[5] τε καὶ κλαυθμῷ παρῆσαν αἱ παρθένοι παρὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πατέρες ἀνεβόων τε καὶ ἀντέκλαιον[6] ὁρῶντες τὰ τέκνα κεκακωμένα· ὁ δὲ Ψαμμήνιτος προϊδὼν καὶ μαθὼν[7] ἔκυψε[8] ἐς τὴν γῆν[9].

1. Ἀφ' ἧς, *à partir du jour où*. — 2. Τὸ τεῖχος τὸ ἐν Μέμφι, *la citadelle de Memphis*. — 3. Τῆς ψυχῆς, *la force d'âme*. — 4. Στείλας, *ayant habillé*. — 5. Datifs d'accompagnement, à rendre par *avec*. — 6. Ἀντικλαίω, *répondre par des pleurs*. — 7. Μαθών, *ayant reconnu* (*ces jeunes filles*). — 8. Ajouter en français : *seulement, simplement*. — 9. L'attitude de Psamménit finit par toucher Cambyse.

32. Le chêne et le roseau (cf. *La Fontaine*, I, 22).

Δρῦν αὐτόριζον[1] ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε[2] ποταμῷ· τὴν[3] δ' ἔσυρε κυμαίνων[4],
πελώριον φύτευμα[5] τῶν πρὶν ἀνθρώπων.

1. Αὐτόριζον, *adj.*, acc. fém., *avec les racines mêmes*. — 2. Ἔδωκε, *le livra*. — 3. Τήν = ταύτην. — 4. Κυμαίνων se rapporte à ποταμός. — 5. Πελώριον φύτευμα (proprement : *plantation* = *planté par*) est en apposition à τήν.

N. B. — Chercher, dans **la traduction**, le mot juste, sans être esclave du dictionnaire.

Πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει,
ἐλαφρὸν[6] ὄχθης ποταμίας ὕδωρ πίνων.
Θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς[7] ὃ μέν, λίην[8]
λεπτός τις ὢν κἄβληχρός[8], οὐκ ἐπεπτώκει,
αὐτὴ δέ, τόσση[10] φηγός, ἐξεριζώθη[11].
Σοφῶς δὲ κάλαμος εἶπε· « Μηδὲν ἐκπλήσσου·
σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
ἡμεῖς δὲ καμπτόμεσθα[12] μαλθακῇ γνώμῃ[13],
κἂν[13] βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ. »

6. Ἐλαφρόν, *rapide.* — 7. Πῶς = *qui se demandait comment.* — 8. Λίην, pour λίαν. — 9. Κἄβληχρός, crase pour καὶ ἀβληχρός. — 10. Τόσση, pour τόση; οὖσα est sous-entendu devant φηγός. — 11. De ἐκριζόω. — 12. Καμπτόμεσθα, pour καμπτόμεθα. — 13. Μαλθακῇ γνώμῃ, *en raison de notre caractère souple.* — 14. Κἄν = καὶ* ἐάν*.

33. Les seigneurs perses et les chariots embourbés.

Ποτὲ στενοχωρίας καὶ πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου, ἐπέστη ὁ Κῦρος[1] σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις καὶ ἔταξέ τινας τοῦ βαρβαρικοῦ στρατοῦ συνεκβιβάζειν τὰς ἁμάξας. Ἐπεὶ[3] δ' ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας. Ἔνθα δὴ μέρος τι τῆς εὐταξίας[4] ἦν[5] θεάσασθαι. Ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ἵεντο κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούς τε πολυτελεῖς χιτῶνας καὶ τὰς

1. *Cyrus le Jeune.* — 2. Εὐδαιμονεστάτοις, et plus loin, κρατίστοις s'appliquent à la fortune et au rang. — 3. Ἐπεί, *comme.* — 4. Μέρος τι τῆς εὐταξίας, *un exemple de la discipline.* — 5. Cf. ἔστι*.

N. B. — Ne pas vouloir donner toujours à l'infinitif aoriste le sens du passé.

ποικίλας ἀναξυρίδας. ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια περὶ ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλὸν τάχιστα μετεώρους ἐξεκόμισαν[6] τὰς ἁμάξας.

6. Μετεώρους (*attribut*) ἐξεκόμισαν, *ils les tirèrent de manière à être dégagés* (propt. *en l'air*).

34. On loue les grands poètes, mais sans écouter leurs conseils.

Τὰ συμβουλεύοντα[1] τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ δ' ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ ταὐτὸ πεπόνθασιν[2] ὅπερ καὶ πρὸς νουτεθοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δ' οὐ βούλονται. Σημεῖον[3] δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεογνίδος καὶ Φωκυλίδου[4] ποίησιν· καὶ γὰρ τούτους φασὶ[5] μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες ἥδιον ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν ἐκείνοις[6] οὕτω τεχνικῶς πεποιημένων γνωμῶν ἀκούσειαν.

1. Τὰ συμβουλεύοντα, (*ceux des ouvrages*) *qui donnent des conseils*. — Τῶν ποιημάτων est un gén. partitif. — 2. Πάσχω, *éprouver une impression* : c'est d'ailleurs le premier sens de ce verbe. — 3. Σημεῖον, apposition : *comme preuve*. — 4. Hésiode, Théognis et Phocylide peuvent être rangés dans la catégorie des poètes *gnomiques*. — 5. Φασί, et plus loin λέγοντες et ἀκούσειαν, ont pour sujet ἅπαντες. — 6. Ἐκείνοις, *par ces poètes*, complément de πεποιημένων. Les Attiques mettent ainsi volontiers au datif le complément d'un participe parfait passif (au lieu de ὑπό et le génitif).

N. B. — On se gardera de confondre ὅτι, *que*, et ὅτι, *parce que*.

35. Obéissance trop parfaite.

Πούπιος Πείσων[1] ὁ ῥήτωρ, οὐ βουλόμενος ἐνοχλεῖσθαι, προσέταξε τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεσθαι, καὶ μηδὲν πλέον λέγειν. Ποτὲ δὲ Κλώδιον ἄρχοντα[2] δεξιώσασθαι βουλόμενος, ἐκέλευσε κληθῆναι· καὶ παρεσκευάσατο λαμπράν, ὡς εἰκός[3], ἑστίασιν. Ἐνστάσης[4] δὲ τῆς ὥρας, οἱ μὲν ἄλλοι παρῆσαν, ὁ δὲ Κλώδιος προσεδοκᾶτο[5]. Καὶ πολλάκις ἔπεμψε τὸν εἰωθότα καλεῖν οἰκέτην, ἐπιψόμενον εἰ πρόσεισιν. Ὡς δ' ἦν ἑσπέρα καὶ ἀπέγνωστο[6], « Τί δέ[7]; ἔφη πρὸς τὸν οἰκέτην· ἐκάλεσας αὐτόν; » — « Ἔγωγε, » εἶπε. — « Διὰ τί οὖν οὐκ ἀφῖκται; » — Κἀκεῖνος[8], « Ὅτι ἠρνήσατο. » — « Πῶς οὖν οὐκ εὐθὺς ἔφρασας; » — « Ὅτι τοῦτό με οὐκ ἠρώτησας[9]. »

1. *Pupius Pison.* — 2. Κλώδιον ἄρχοντα, *le consul Clodius.* — 3. S.-ent. ἐστί. — 4. Ἐνστάσης (de ἐνίστημι), *étant arrivée.* — 5. Προσδοκάομαι, *se faire attendre.* — 6. Ἀπέγνωστο (de ἀπογιγνώσκω), *on avait désespéré.* — 7. Τί δέ; *eh quoi?* — 8. Κἀκεῖνος = καὶ ἐκεῖνος. — 9. Verbe construit avec deux accusatifs : *cf. rogare aliquem aliquid.*

36. Jugement du jeune Horace.

Μετὰ τὴν μάχην προσέρχονται τῶν πολιτῶν ἄνδρες οὐκ ἀφανεῖς, τὸν Ὡράτιον ἄγοντες ὑπὸ δίκην διὰ τὸν τῆς ἀδελφῆς φόνον. Ὁ δὲ πατὴρ ἀπελογεῖτο ὑπὲρ τοῦ μειρακίου, κατηγορῶν τῆς θυγατρός, καὶ τιμωρίαν, οὐ φόνον εἶναι τὸ πραχθὲν λέγων· συχνῶν δὲ λόγων ῥηθέντων ὑφ' ἑκατέρων, πολλὴ τὸν βασιλέα κατεῖχεν ἀμηχανία· οὔτε γὰρ ἠξίου ἀπολῦσαι τοῦ φόνου τὸν

N. B. — Se rappeler que le grec construit très librement un infinitif après un autre verbe.

ὁμολογοῦντα τὴν ἀδελφὴν ἀνῃρηκέναι ἄνευ δίκης, οὔτε ὡς ἀνδροφόνον ἀποκτεῖναι τὸν ὑπὲρ τῆς πατρίδος ἑλόμενον προκινδυνεῦσαι. Ἀπορούμενος δὲ τί χρήσεται τοῖς πράγμασι[1], τελευτῶν[2] κράτιστον εἶναι διέγνω τῷ δήμῳ τὴν διάγνωσιν ἐπιτρέπειν. Γενόμενος δὲ θανατηφόρου κρίσεως τότε πρῶτον[3] ὁ Ῥωμαίων δῆμος κύριος τῇ γνώμῃ τοῦ πατρός προσέθετο, καὶ ἀπολύει τοῦ φόνου τὸν ἄνδρα.

1. Ἀπορούμενος τί χρήσεται τοῖς πράγμασι, m. à. m. : *embarrassé pour savoir comment il userait des choses = ne sachant que faire.* — 2. Τελευτῶν : ce participe équivaut à un adverbe. — 3. Πρῶτον, *pour la première fois.*

37. Maisons et mœurs arméniennes.

Ἐν ταύτῃ τῇ κώμῃ αἱ οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα[1] ὥσπερ φρέατος, κάτω δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί[2], οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. Ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. Ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, γόνατα[3] οὐκ ἔχοντες. Τούτους ἔδει, ὁπότε* τις διψῴη, λαβόντα[4] εἰς τὸ στόμα μύζειν. Καὶ

1. Τὸ μὲν στόμα, acc. de relation ; la formule équivaut à : ἔχονται τὸ στόμα ὥσπερ φρέατος. — 2. Ὀρυκταί, *creusées* (*en pente*). — 3. Γόνατα, *des nœuds.* — 4. Λαβόντα se rapporte à un τινά sous-entendu, et sujet de μύζειν.

N. B. — Il faut, en traduisant, laisser au texte sa couleur.

πάνυ ἄκρατος[5] ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι καὶ πάνυ ἡδὺ συμμαθόντι[6] τὸ πῶμα ἦν.

5. Ἄκρατος, *fort comme du vin pur;* se rapporte à οἶνος κρίθινος. — 6. Συμμαθόντι, *pour qui était fait (à cette boisson).*

38. Les hommes comparés aux bulles d'eau.

Ἤδη ποτέ πομφόλυγας ἐν ὕδατι ἐθεάσω; τὰς φυσαλίδας λέγω, ἀφ' ὧν συναγείρεται ὁ ἀφρός· ἐκείνων τοίνυν τινὲς μὲν μικραί εἰσι καὶ αὐτικὰ ἐκραγεῖσαι ἀπέσβησαν[1], αἳ δ' ἐπὶ πλέον διαρκοῦσι καί, προσχωρουσῶν αὐταῖς τῶν ἄλλων, αὗται φυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται, εἶτα μέντοι καὶ* ἐκεῖναι ἐξερράγησάν[1] ποτε· οὐ γὰρ οἷόν τ' ἐστὶ ἄλλως γενέσθαι. Ὅδ' ἐστὶν ὁ ἀνθρώπου βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι οἳ μὲν μείζους, οἳ δ' ἐλάττους γίγνονται· καὶ οἳ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἳ δ' ἅμα τῷ ξυστῆναι ἐπαύσαντο[1]· πᾶσι δ' οὖν ἀπορραγῆναί ἐστιν ἀναγκαῖον.

1. Un certain nombre d'aoristes, dans ce texte, sont des aoristes d'*habitude,* des *gnomiques,* et se rendent en français par l'indicatif présent. Cf. Gr., 175 b.

39. Socrate et le jeune gourmand.

Ὁ Σωκράτης καταμαθών τινα τῶν ξυνδειπνούντων νεανίσκον τοῦ μὲν σίτου[1] πεπαυμένον, τὸ δὲ ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα· « Ἐάν* τις, ἔφη, ἄνευ τοῦ σίτου τὸ ὄψον αὐτὸ[2] ἐσθίῃ, πότερον

1. Σῖτος, *le pain;* ὄψον, *la viande* et tout ce qui se mange avec le pain. — 2. Αὐτό, *tout seul.*

N. B. — Le grec est riche en participes, dont le latin est pauvre; on en remarquera la légèreté.

ὀψοφάγος εἶναι δοκεῖ ἢ οὔ; » Νομίσας ὁ νεανίσκος εἰς αὐτὸν εἰρῆσθαι τὰ λεχθέντα, τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβεν. Καὶ ὁ Σωκράτης καταμαθών[3]· « Παρατηρεῖτ', ἔφη, τοῦτον, οἱ πλησίον[4], ὁπότερα τῷ σίτῳ ὄψῳ[5], ἢ τῷ ὄψῳ σίτῳ χρήσεται. »

3. *S'en étant aperçu.* — 4. Οἱ πλησίον est en apposition à ὑμεῖς, *s.-ent.* comme sujet de παρατηρεῖτε. — 5. Ὄψῳ, σίτῳ sont des appositions aux deux datifs précédés de l'article : ajouter *comme,* en français, devant ces appositions.

40. Héraclès et Asclépios[1] se querellent dans l'Olympe.

ἩΡ. — Ἐγὼ μὲν Διὸς υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. Σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν φάρμακα, ἀνδρῶδες δ' οὐδὲν ἐπιδεδειγμένος...

ἈΣΚ. — Ἐγὼ δ' οὔτε ἐδούλευσα ὥσπερ σύ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ· ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα[2].

ἩΡ. — Εἰ μὴ παύσει λοιδορούμενός[3] μοι, αὐτίκα ἀράμενός

1. *Asclépios* ou *Esculape. Héraclès* ou *Hercule* est connu par ses douze travaux. — 2. Héraclès fut vendu comme esclave en Lydie, et fila une année entière aux pieds de la reine Omphale. Rendu fou par Héra (Junon), son ennemie, il avait tué sa femme, Mégare, et ses enfants. — 3. Cf. Gr., 231.

N. B. — On remarquera la légèreté de l'interrogation indirecte, sans subjonctif.

σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιήονα[4] ἰάσασθαί σε, τὸ κρανίον[5] συντριβέντα.

4. *Pæon*, médecin des dieux. — 5. Κρανίον, acc. de relation (*quant à...*).

41. Ce qui intéresse le philosophe.

Θαλῆν[1] ἀστρονομοῦντα καὶ ἄνω βλέποντα Θρᾷττά τις θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς[2] τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν. Ταὐτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας ὅσοι ἐν φιλοσοφίᾳ διάγουσι. Τῷ γὰρ ὄντι τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον ὅ τι[3] πράττει, ἀλλ' ὀλίγου[4] καὶ εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα[5]· τί δέ ποτ' ἐστὶν ἅνθρωπος[6] καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον[7] τῶν ἄλλων ποιεῖν ἢ πάσχειν, ζητεῖ τε καὶ πράγματ' ἔχει[8] διερευνώμενος.

1. *Thalès* de Milet, un des Sept Sages. — 2. Ὡς et l'opt. de concordance, *en disant que*. — 3. Ὅ τι, *pour savoir ce que* (ce voisin). — 4. Ὀλίγου (δεῖ), adverbe. — 5. Θρέμμα, *créature*. — 6. Ἅνθρωπος, crase pour ὁ ἄνθρωπος. — 7. Τί διάφορον est complément des deux infinitifs qui suivent. — 8 Πράγματ' ἔχει = πραγματεύεται.

42. Début d'un jeune prince à la chasse.

Ὡς[1] εἶδεν ὁ Κῦρος ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουσεν[2], ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν ἢ ὅπῃ ἔφευγε. Διαπεδῶν

1. Ὡς, conjonction temporelle. Gr., 203. Il s'agit de *Cyrus l'Ancien*. — 2. Les gardiens lui avaient recommandé d'être prudent et de se garder des fondrières.

N. B. — Ne pas prendre pour un conditionnel l'optatif de concordance. Gr., 184.

δ' αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ[3] κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ'* ἐπέμεινεν ὁ Κῦρος μόλις πως[4], καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δ' εἰς τὸ πέδιον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα[5] καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον εἰς οἷον κίνδυνον ἔλθοι. Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκώς. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον ὥσπερ ἐνθουσιάζων· καὶ ὡς εἶδεν ἐκ τοῦ ἀντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει, καὶ διατεινάμενος[6] εὐστόχως βάλλει εἰς τὸ μέτωπον καὶ κατέσχε[7] τὸν κάπρον.

3. Μικροῦ, adverbe. — 4. Μόλις πως, *non sans peine*. — 5. Χρῆμα, (apposition à ἔλαφον), *chose* = *pièce de gibier*. — 6. Διατεινάμενος, *ayant tendu* (*son arc*). — 7. Κατέσχε, *il arrêta* = *il abattit*.

43. Fête égyptienne.

Πανηγυρίζουσιν Αἰγύπτιοι οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύρεις δὲ συχνάς, καὶ προθυμότατα εἰς Βούβαστιν[1] πόλιν τῇ Ἀρτέμιδι. Εἰς μὲν οὖν Βούβαστιν πόλιν ἐπειδὰν κομίζωνται, ποιοῦσι τοιάδε· πλέουσί τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξί, καὶ πολύ τι πλῆθος ἑκατέρων ἐν ἑκάστῃ βάρει[2]· αἳ μέν τινες τῶν γυναικῶν κρόταλα ἔχουσαι κροταλίζουσι, οἳ δὲ αὐλοῦσι κατὰ πάντα τὸν πλοῦν, αἱ δὲ λοιπαὶ[3] γυναῖκες καὶ ἄνδρες ᾄδουσι καὶ τὰς χεῖρας κροτοῦσι. Ἐπειδὰν δὲ πλέοντες κατά τινα πόλιν γένωνται,

1. *Bubastis,* ville du delta en Égypte. — 2. Βᾶρις, *barque légère,* faite en bois d'épine, calfatée avec de l'étoupe, et portant une voile de papyrus. — 3. Sur cet accord de l'épithète, cf. Gr., 48, 2°.

N. B. — Pour traduire, suivre le mouvement du texte.

ἐγχρίψαντες τὴν βᾶριν τῇ γῇ ποιοῦσι τοιάδε· αἱ μέν τινες τῶν γυναικῶν ποιοῦσιν ἅπερ εἴρηκα· αἱ δὲ τωθάζουσι βοῶσαι τὰς ἐν τῇ πόλει ταύτῃ γυναῖκας, αἱ δ' ὀρχοῦνται· ταῦτα παρὰ πᾶσαν πόλιν παραπόταμιον ποιοῦσιν.

44. Xénophon refuse le commandement unique.

Ἐπεθύμει μὲν ὁ Ξενοφῶν αὐτοκράτωρ γενέσθαι ἄρχων. Ἐνόμιζε γὰρ καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι πρὸς τοὺς φίλους, καὶ εἰς τὴν πόλιν τὸ αὐτοῦ ὄνομα μεῖζον ἀφίξεσθαι, τυχὸν[1] δὲ καὶ* ἀγαθοῦ τινος αἴτιος τῇ στρατιᾷ γενέσθαι. Ὁπότε δ' αὖ ἐνθυμοῖτο ὅτι ἄδηλον παντὶ ἀνθρώπῳ ὅπῃ τὸ μέλλον ἕξει*, διὰ τοῦτο δὲ κίνδυνος εἴη καὶ τὴν προειργασμένην[2] δόξαν ἀποβαλεῖν, ἠπορεῖτο. Ἀπορουμένῳ δὲ αὐτῷ διακρῖναι[3] ἔδοξε κράτιστον εἶναι τοῖς θεοῖς ἀνακοινῶσαι, καὶ παραστησάμενος δύο ἱερεῖα ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ. Οὕτω δὴ θυομένῳ αὐτῷ διαφανῶς ὁ θεὸς σημαίνει μήτε προσδεῖσθαι τῆς ἀρχῆς μήτε, εἰ αἱροῖντο[4], ἀποδέχεσθαι.

1. Τυχόν, *peut-être*. — 2. Προειργασμένην, *précédemment acquise*. — 3. Διακρῖναι se rattache librement à ἀπορουμένῳ, cf. Gr., § 224. — 4. Αἱροῖντο, sujet : *les soldats*.

45. En Égypte : les embaumeurs.

Ἐπειδὰν ταῦτα ποιήσωσι[1], τὸν νεκρὸν εἰς ταρίχευσιν κομίζουσι. Εἰσὶ δὲ οἱ ἐπ' αὐτῷ τούτῳ καθῆνται[2]. Οὗτοι, ἐπειδὰν κομισθῇ

1. Sujet : *les gens de la famille*. Ils ont commencé, hommes et femmes, par traverser la ville en se frappant la poitrine. — 2. Καθῆνται, *restent préposés*.

N. B. — Il faut rendre exactement tous les détails d'un texte.

νεκρός, δεικνύασι τοῖς κομίσασι παραδείγματα[3] νεκρῶν ξύλινα, τῇ γραφῇ μεμιμημένα, καὶ τὴν μὲν σπουδαιοτάτην[4] αὐτῶν φασιν εἶναι τοῦ Θεοῦ[5], τὴν δὲ δευτέραν δεικνύασιν ὑποδεεστέραν τε ταύτης καὶ εὐτελεστέραν, τὴν δὲ τρίτην εὐτελεστάτην. Ὁράσαντες δὲ πυνθάνονται παρ' αὐτῶν[6] καθ' ἥντινα βούλονται σκευασθῆναι τὸν νεκρόν. Οἱ μὲν δὴ μισθῷ ὁμολογήσαντες ἀπαλλάττονται, οἱ[7] δ' ὑπολειπόμενοι ἐν οἰκήμασι σπουδαιότατα ταριχεύουσιν.

3. Παραδείγματα, *des modèles*. Ces modèles sont en bois sculpté et peint. — 4. Τὴν σπουδαιοτάτην, *la plus soignée*. Nous dirions : *la première classe*. — 5. Il s'agit sans doute du dieu Osiris. — 6. Αὐτῶν, les parents, désignés plus loin par οἱ μέν. — 7. Οἱ δέ, les embaumeurs.

46. Contre le manque de modération.

Εἰπέ μοι, τί ὄφελος[1] τοῦ τὴν γαστέρα διαρρήγνυσθαι ὑπὸ[2] τῆς πολλῆς ἀδηφαγίας, ἢ τοῦ τὸ κριτήριον ἡμῖν διαφθείρεσθαι ὑπὸ τῆς ἀμέτρου οἰνοποσίας; ἢ οὐχὶ[3] ἐντεῦθεν καὶ τῷ σώματι καὶ τῇ ψυχῇ πάντα τίκτεται τὰ κακά; πόθεν γὰρ αἱ νόσοι αἱ παντοδαπαί; οὐχὶ ἀπὸ τοῦ τὴν χρείαν ἡμᾶς[4] ὑπερβαίνοντας βαρὺ φορτίον ἐπιτιθέναι τῇ γαστρί; πόθεν δ' αἱ ἁρπαγαί, αἱ πλεονεξίαι, οἱ φόνοι, αἱ λῃστεῖαι καὶ πᾶσα τῆς ψυχῆς ἡ διαφθορά; οὐ διὰ τὸ τοῦ πλείονος[5] ἐφίεσθαι τῆς συμμετρίας;... Εἰ γὰρ

1. S.-ent. ἐστί; τοῦ... cf., Gr., § 215. — 2. Ὑπό, *par l'effet de*; ἀδηφαγίας, *gloutonnerie;* οἰνοποσίας, *usage du vin*. — 3. Ἢ οὐχί, *ou n'est-il pas vrai que?* — 4. Ἡμᾶς est sujet de ἐπιτιθέναι. — 5. Τοῦ πλείονος, *plus que*, gén.

N. B. — Il faut rendre le mouvement d'un texte.

ἐβουλόμεθα καὶ ἐν τῇ τροφῇ καὶ ἐν τοῖς ἐνδύμασι καὶ ἐν τοῖς οἰκήμασι καὶ ἐν ταῖς χρείαις ταῖς ἄλλαις σωματικαῖς τὰ ἀναγκαῖα μόνον ἐπιζητεῖν, πολλῆς ἂν λύμης ἀπήλλακτο[6] τὸ τῶν ἀνθρώπων γένος.

6. Ἂν ἀπήλλακτο, conditionnel présent.

47. Un Grec demande aux Athéniens de venir au secours des Lacédémoniens en péril.

« Εἴ ποτε πάλιν ἔλθοι τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσαιτε ἢ Λακεδαιμονίοις; Τίνας δὲ ἂν παραστάτας ἥδιον τούτων ποιήσαισθε, ὧν γε καὶ οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχομενοι ἀποθανεῖν μᾶλλον ἢ ζῶντες ἐπεισφέρεσθαι[1] τὸν βάρβαρον τῇ Ἑλλάδι; Πῶς οὖν οὐ δίκαιον[2] ὧν τε ἕνεκα[3] ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ' ὑμῶν, καὶ ὧν[4] ἐλπὶς καὶ* αὖθις γενήσεσθαι[5], πᾶσαν προθυμίαν εἰς αὐτοὺς καὶ ὑμᾶς καὶ ἡμᾶς παρέχεσθαι; »

1. Ἐπεισφέρεσθαι, *laisser entrer dans,* dat. — 2. Δίκαιον. s.-ent. ἐστί. — 3. Ὧν ἕνεκα, *en raison de ce que.* — 4. Ὧν, s.-ent. ἕνεκα. — 5. Construction elliptique, ἐλπίς ἐστι καὶ αὐτοὺς αὖθις γενήσεσθαι ἄνδρας ἀγαθούς.

48. Paroles de Socrate.

« Ὦ ἄνδρες[1], εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστα αὐτοὶ μὲν σῴζοίμεθα, τοὺς δὲ πολεμίους

1. Traduire : *mes amis.*

N. B. — Si elle doit être exacte, la traduction doit aussi être naturelle et claire.

χειροίμεθα, ἆρ', ὅντινα ἂν[2] αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου, τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθεῖμεν τὸν τοιοῦτον δύνασθαι ἢ ἡμᾶς σῶσαι ἢ τοὺς πολεμίους κρατῆσαι; Εἰ δ' ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ[3] ἐπιτρέψαι ἢ παῖδας παιδεῦσαι ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθα δοῦλον ἀκρατῆ;... Ἀλλὰ μὴν ἐπεὶ δοῦλον ἀκρατῆ οὐκ ἂν δεξαίμεθα, πῶς οὐκ ἄξιον[4] αὐτόν[5] γε φυλάξασθαι τοιοῦτον γενέσθαι; »

2. Ἄν : cette particule porte sur les deux optatifs qui suivent. — 3. Τῳ, sans accent : enclitique. — 4. Ἄξιον, s.-ent. ἐστί. — 5. Αὐτόν, sujet de φυλάξασθαι = *on personnellement*.

49. Grandeurs éphémères.

Οἶμαί σε πολλάκις ἑωρακέναι τοὺς τραγικοὺς ὑποκριτὰς πρὸς τὰς χρείας τῶν δραμάτων ἄρτι μὲν Κρέοντας[1], ἐνίοτε δὲ Πριάμους γιγνομένους ἢ Ἀγαμέμνονας· καὶ ὁ αὐτός, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα σέμνως τὸ τοῦ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος μετ' ὀλίγον οἰκέτης προῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος· ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος, ἀποδυσάμενος ἕκαστος αὐτῶν τὴν χρυσόπαστον ἐκείνην ἐσθῆτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καταβὰς ἀπὸ τῶν ἐμβατῶν[2], πένης καὶ ταπεινὸς περίεισιν, οὐκέτ' Ἀγαμέμνων ὁ Ἀτρέως[3]

1. Créon, Priam, Agamemnon, Cécrops, Erechthée sont des princes ou rois. — On sait que, dans une même tragédie, le même acteur pouvait tenir plusieurs rôles. — 2. Ἐμβάτης, *cothurne*, chaussure à haute semelle portée par les acteurs tragiques. — 3. Après un premier nom propre, le génitif (accompagné ou non

N. B. — Éviter les méprises sur les homonymes.

οὐδὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σουνιεὺς ὀνομαζόμενος ἢ Σάτυρος[4] Θεογείτονος Μαραθώνιος. Τοιαῦτα καὶ* τὰ τῶν ἀνθρώπων πράγματά ἐστιν.

de l'article) d'un second nom propre prend le sens de *fils de* : Agamemnon, *fils d'Atrée;* Créon, *fils de Ménœcée;* Pôlos, *fils de Chariclès;* Satyros, *fils de Théogiton.* — 4. *Polos* et *Satyros* furent des acteurs connus aux ve et ive siècles. C'est l'usage d'ajouter au nom des gens un adjectif qui rappelle leur lieu de naissance : on est *de Sunium* ou *de Marathon.*

50. Dédains du sage.

Ὅταν μυρία πλέθρα[1] ἢ ἔτι πλείω ἀκούσῃ ὥς τις ἄρα κεκτημένος θαυμαστὰ πλήθει κέκτηται, πάνσμικρα δοκεῖ[2] ἀκούειν, εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν. Τὰ δὲ δὴ γένη τῶν ὑμνούντων[3], ὡς γενναῖός τις ἑπτὰ πάππους πλουσίους ἔχει* ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν ὁρώντων[4] ἡγεῖται τὸν ἔπαινον, ὑπὸ ἀπαιδευσίας οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν οὐδὲ λογίζεσθαι ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοὶ καὶ βασιλεῖς καὶ δοῦλοι βάρβαροί τε καὶ Ἕλληνες πολλάκις μυρίοι γεγόνασιν.

1. *Le plèthre* carré vaut environ 9 ares. — 2. Δοκεῖ a pour sujet *le sage.* — 3. Ὑμνούντων dépend de ἔπαινον. Ὡς = *quand ils disent que.* — 4. Ὁρώντων, construction elliptique : *comme étant le fait de gens qui voient.*


N. B. — Il est indispensable de relire sa copie sur le texte grec, pour éviter les omissions.

51. Adieux d'Andromaque à son fils[1].

Ὦ φίλτατ', ὦ περισσὰ[2] τιμηθείς, τέκνον,
θανεῖ πρὸς ἐχθρῶν, μητέρ' ἀθλίαν λιπών·
ἡ τοῦ πατρὸς δέ σ' εὐγένει' ἀπώλεσεν,
ἣ τοῖσιν[3] ἄλλοις γίνεται σωτηρία...
Ὦ παῖ, δακρύεις; αἰσθάνει κακῶν σέθεν[4];
Τί μου δέδραξαι χερσὶ κἀντέχει[6] πέπλων,
νεοσσὸς ὡσεὶ πτέρυγας εἰσπίτνων[7] ἐμάς;
οὐκ εἶσιν[8] Ἕκτωρ κλεινὸν ἁρπάσας δόρυ,
γῆς ἐξανελθών, σοὶ φέρων σωτηρίαν,
οὐ συγγένεια πατρός, οὐκ ἰσχὺς Φρυγῶν[9]...
Νῦν, οὔποτ' αὖθις[10], μητέρ' ἀσπάζου σέθεν[4],
πρόσπιτνε[11] τὴν τεκοῦσαν, ἀμφὶ[12] δ' ὠλένας
ἕλισσ' ἐμοῖς νώτοισι, καὶ στόμ' ἅρμοσον[13].

1. Hector a été tué par Achille, Troie est prise. Ulysse a exigé, au nom des Grecs, la mort du petit Astyanax, fils d'Hector et d'Andromaque. — 2. Περισσά, adv., *plus que tout*. — 3. Τοῖσιν, pour τοῖς. — 4. Σέθεν = σοῦ. — 6. Κἀντέχει, crase pour καὶ ἀντέχει — 7. Εἰσπίτνων, *tombant; se réfugiant sous*. — 8. Εἶσιν : regarder l'accent. — 9. *Les Phrygiens = les Troyens*. — 10. Οὔποτ' αὖθις, s.-ent. : *tu le feras*. — 11. Πρόσπιτνε, acc., *tombe dans les bras de*. — 12. Rapprocher ἀμφί de νώτοισι (pour νώτοις). — 13. Ἅρμοσον, s.-ent. τῷ ἐμῷ στόματι.

N. B. — Les images d'un texte poétique doivent être rendues.



APPENDICE

I

PETIT DICTIONNAIRE DE SYNTAXE

1. ἄν *A* . *particule*, dans une proposition principale.

   1° { *a*) avec un *optatif* pr. ou aor. } = *conditionnel*.
   { *b*) avec l'*imparfait* de l'indicatif. } *présent*.

   2° avec l'indic. *aoriste* = *conditionnel passé*.

B. *conjonction* et le subjonctif = *si;* employé pour ἐάν.

2. αὐτός : 1° αὐτὸς ὁ ἄνθρωπος, *l'homme même*.
   2° ὁ αὐτὸς ἄνθρωπος, *le même homme;* ὁ αὐτός et datif, *le même que* : ταὐτὰ φιλῶ σοι, *j'aime les mêmes choses que toi*.
3. δῆλός εἰμι ἀδικῶν, m. à m. *je suis évident étant injuste* = *il est évident que je suis injuste, je suis évidemment injuste*.
4. ἐάν et le subj., conjonction = *si*.
5. εἰ 1. εἰ ἔλθοις, ἂν ἔλθοιμι, *si tu venais, je viendrais* (demain, un jour).
   2. εἰ παρῆσθα νῦν, ἔχαιρον ἄν, *si tu étais présent, je serais heureux* (actuellement).
   3. εἰ ἦλθες, ἂν ἦλθον, *si tu étais venu* (hier), *je serais venu*.
   4. εἰ ἔλθοι, ἠρχόμην, *s'il* (toutes les fois qu'il) *venait, je venais*.
6. εἴθε et l'opt., *puisse-t-il* (*demain*)*!*
   — et l'impf., *plût au ciel que* (*aujourd'hui*)*!*
   — et l'indic. aor., *plût au ciel que* (*jadis*)*!*
7. ἐπεί, ἐπειδή, avec l'indicatif, peuvent avoir :
   1° le sens causal, *puisque; comme*.
   2° le sens temporel, *lorsque; après que*.
8. ἔστι (*remarquer l'accent*) suivi de l'infinitif signifie : *il est permis, il est possible*.
9. ἔχω : 1° avec un adverbe, équivaut à εἰμί, accompagné d'un

adjectif. : τὰ χρήματα καλῶς ἔχει, *les affaires sont bonnes.* — Οὕτως ἔχει, *il en est ainsi* (impersonnel).

2° suivi d'un infinitif = *je peux* : ἔχω λέγειν, *je puis parler*.

10. **ἕως ἄν** et le subjonctif = *tant que.*
11. **ἤν**, conjonction et le subj. = ἐάν, *si.*
12. **καί** est souvent employé comme *adverbe*, au sens de *même, aussi.*
13. **κἄν** (accentué) et le subjonctif = καὶ ἄν (pour ἐάν), *et si, même si.*
— **κὰν** (sans accent) = καὶ ἐν, dat., *et dans, même dans.*
14. **λανθάνω** (*acc.*) et le participe = *échapper à* : ἔλαθον τοὺς πολεμίους φεύγοντες, m. à m. *ils échappèrent fuyant aux ennemis* = *ils s'enfuirent* **à l'insu** *des ennemis;* — ἔλαθον τελευτήσαντες ἑαυτούς, *ils moururent* **sans s'en apercevoir.**
15. **μή** et le subjonctif, équivaut parfois à : *de peur que* (pour ἵνα μή) ; après *craindre* = *que.*
16. **ὁ, ἡ, τό** : ὁ Φιλίππου, s.-ent. υἱός signifie : *le fils de Philippe;* ἡ οἰκουμένη, s.-ent. γῆ, *la terre habitée;* τὸ πείθεσθαι τοῖς νόμοις, *le fait d'obéir aux lois*; τὰ τῶν Ἑλλήνων, *les affaires des Grecs.*
17. **οἷος**, et l'infinitif, *homme à;*
— οἷός τ' εἰμί, et l'infinitif, *être capable de.*
18. **ὁπόταν**, conjonction et le subjonctif, *quand* (toutes les fois que *ou* lorsque plus tard).
19. **ὅς (ὅστις) ἄν** et le subjonctif, (*celui*) *qui* EN GÉNÉRAL (*quisquis; si quis*).
20. **ὅταν**, et le subjonctif = 1° *quand, toutes les fois que* (actuellement).

2° *quand* (plus tard).

21. **ὅτε** (ὁπότε) et l'optatif = *quand, toutes les fois que* (dans le passé).
22. **ὅ τι ἄν** et le subjonctif = *quoi que ce soit que* (*quidquid* latin).
23. **οὐδέ** (μηδέ) a souvent le sens du latin *ne... quidem, ne... pas même.*
24. **οὐ μὴν ἀλλά**, formule de liaison, au sens de *cependant.*
25. (*Le*) *participe* grec accompagnant un verbe *commencer, cesser, continuer,* correspond à l'infinitif français. *Ex.* : παύεται ᾄδων, *il cesse de chanter* (m. à m. *chantant*).


26. τυγχάνω et le participe correspond au français : *se trouver faire une chose*. On peut traduire ἐτύγχανεν ἀπών, par : *il était par hasard absent*.

27. φαίνομαι, *se montrer visiblement*, est souvent construit avec le participe. Ex. : ἐφαίνετο πεινῶν, m. à m. : *il se montrait visiblement ayant faim* = *il avait visiblement faim*.

28. φοβοῦμαι μή (subj.), *craindre que*.
— μή οὐ, *craindre que ne... pas*.

29. ὡς. — I. *conjonction :* 1° avec l'indicatif signifie :
a) *que*,
b) *puisque*,
c) *quand*.
2° avec le subjonctif : *afin que*.
3° avec l'infinitif (= ὥστε) : *de telle sorte que*.

II. *adverbe* devant superlatif = *le plus possible :* ὡς τάχιστα, *le plus vite possible*. — Parfois δυνατόν, *possible*, est exprimé avec ὡς devant le superlatif.



Cl. Boissonnas.

PORT D'AULIS AU SOLEIL LEVANT.

II

VOCABULAIRE

*Le signe** désigne les verbes irréguliers.*

I. LA VIE DU CORPS

Noms.

αἷμα, ατος (τό), *sang*.
ἀκοή, ῆς (ἡ), *ouïe*.
ἄνθρωπος, ου (ὁ), *homme*.
ἄρθρον, ου (τό), *articulation*.
ἀριστερά, ᾶς (ἡ), *main gauche*.
αὐχήν, ένος (ὁ), *cou*.
βλέφαρον, ου (τό), *paupière*.
βραχίων, ονος (ὁ), *bras*.
γαστήρ, τρός (ἡ), *ventre*.
γένος, ους (τό), *naissance*.
γεῦσις, εως (ἡ), *goût* (sens).
γλῶττα, ης (ἡ), *langue*.
γνάθος, ου (ἡ), *mâchoire*.
γόνυ, γόνατος (τό), *genou*.
δάκτυλος, ου (ὁ), *doigt*.
δεξιά, ᾶς (ἡ), *main droite*.
δέρμα, ατος (τό), *peau*.
δίψα, ης (ἡ), *soif*.
ἔντερα, ων (τά), *entrailles*.
ἧπαρ, ατος (τό), *foie*.
θάνατος, ου (ὁ), *mort*.
θρίξ, τριχός (ἡ), *cheveu*.
ἴς, ἰνός (ἡ), *muscle*.
ἰσχύς, ύος (ἡ), *force*.
κάλλος, ους (τό), *beauté*.
καρδία, ας (ἡ), *cœur*.
κεφαλή, ῆς (ἡ), *tête*.
κόμη, ης (ἡ), *chevelure*.
κρόταφος, ου (ὁ), *tempe*.
κῶλα, ων (τά), *membres*.
μέτωπον, ου (τό), *front*.
μηρός, οῦ (ὁ), *cuisse*.
νεκρός, οῦ (ὁ), *cadavre*.
νεῦρον, ου (τό), *nerf*.
νόσος, ου (ἡ), *maladie*.
νῶτος, ου (ὁ), *dos*.
ὀδούς, ὀδόντος (ὁ), *dent*.
ὄνειρος, ου (ὁ), *rêve*.
ὄνυξ, υχος (ὁ), *ongle*.
ὀστέον-οῦν, οῦ (τό), *os*.
οὖς, ὠτός (τό), *oreille*.
ὀφθαλμός, οῦ (ὁ), *œil*.
ὀφρύς, ύος (ἡ), *sourcil*.
ὄψις, εως (ἡ), *vue*.
παρειά, ᾶς (ἡ), *joue*.
πεῖνα, ης (ἡ), *faim*.
πλευρά, ᾶς (ἡ), *flanc*.
πνεῦμα, ατος (τό), *souffle*.
πνεύμων, ονος (ὁ), *poumon*.
πόνος, ου (ὁ), *fatigue*.
πούς, ποδός (ὁ), *pied*.
πρόσωπον, ου (τό), *visage*.
πυρετός, οῦ (ὁ) *fièvre*.
πώγων, ωνος (ὁ), *barbe*.

ῥίς, ῥινός (ἡ), *nez.*
ῥώμη, ης (ἡ), *force.*
σάρξ, σαρκός (ἡ), *chair.*
σθένος, ους (τό), *force.*
στέρνον, ου (τό) } *poitrine.*
στῆθος, ους (τό), } *poitrine.*
στόμα, ατος (τό), *bouche.*
στόμαχος, ου (ὁ), *estomac.*
σφυρόν, οῦ (τό), *cheville.*
σῶμα, ατος (τό), *corps.*
τραῦμα, ατος (τό), *blessure.*
τράχηλος, ου (ὁ), *cou.*
ὑγίεια, ας (ἡ), *santé.*
ὕπνος, ου (ὁ), *sommeil.*
φάρμακον, ου (τό), *poison; remède.*
φλέψ, φλεβός (ἡ), *veine.*
φωνή, ῆς (ἡ), *voix.*
χεῖλος, ους (τό), *lèvre.*
χείρ, χειρός (ἡ), *main.*
ὠλένη, ης (ἡ), *bras.*
ὦμος, ου (ὁ), *épaule.*

Adjectifs.

αἰσχρός, ά, όν, *laid.*
ἀνθρώπινος, η, ον, *humain.*
ἁπαλός, ή, όν, *tendre.*
ἀσθενής, ής, ές, *faible.*
ἄφωνος, ος, ον, *muet.*
βραδύς, εῖα, ύ, *lent.*
γεραιός, ά, όν, *vieux.*
ἐλαφρός, ά, όν, *agile.*
ἐρυθρός, ά, όν, *rouge.*
θνητός, ή, όν, *mortel.*
ἰσχνός, ή, όν, *maigre.*
ἰσχυρός, ά, όν, *fort.*
καλός, ή, όν, *beau.*
κρατερός, ά, όν, *fort.*
κωφός, ή, όν, *sourd.*
λεπτός, ή, όν, *maigre.*
λευκός, ή, όν, *blanc.*
μακρός, ά, όν, *long.*
μαλακός, ή, όν, *mou.*
μέγας, μεγάλη, μέγα, *grand.*
μέλας, μέλαινα, μέλαν, *noir.*
μικρός, ά, όν, *petit.*
νέος, α, ον, *jeune.*
ξανθός, ή, όν, *blond.*
παχύς, εῖα, ύ, *épais.*
πικρός, ά, όν, *amer.*
πρηνής, ής, ές, *incliné.*
ταχύς, εῖα, ύ, *rapide.*
χωλός, ή, όν, *boiteux.*

Verbes.

αἴρω**, *soulever.*
αἰσθάνομαι**, *sentir.*
ἀκμάζω, *être en pleine force.*
ἀκούω**, *entendre.*
ἀλγέω-ῶ, *f.* ήσω, *souffrir.*
ἅπτομαι, *f.* ψομαι, *toucher.*
ἀρρωστέω-ῶ, *f.* ήσω, *être mal portant.*
ἀσθενέω-ῶ, *f.* ήσω, *être faible.*
αὔξομαι, *f.* ήσομαι, *grandir.*
γεύομαι, *f.* σομαι, *goûter.*
γηράσκω, *f.* άσω, *vieillir.*
γίγνομαι**, *naître.*
διψάω-ῶ, *f.* ήσω, *avoir soif.*
ἐγείρομαι, *f.* ἐγερθήσομαι, aor. ἠγρόμην, *s'éveiller.*

ἐρυθριάω-ῶ, *f.* άσω, *rougir.*
ἐσθίω**, *manger.*
εὕδω, *f.* ήσω, *dormir.*
ἔχω** et adv., *être en tel état.*
(βιόω) ζάω-ῶ**, *vivre.*
θνῄσκω**, *mourir.*
ἱδρόω, *f.* ώσω, *suer.*
κεῖμαι, *être couché.*
νοσέω-ῶ, *f.* ήσω, *être malade.*
ὁράω-ῶ**, *voir.*
πάσχω**, *souffrir.*
πεινάω-ῶ, *f.* ήσω, *avoir faim.*
πέφυκα, pf., *être naturellement.*
πίνω**, *boire.*
πίπτω**, *tomber.*
ῥιγόω-ῶ, *f.* ώσω, *avoir froid.*
τυγχάνω**, *se trouver.*
ὑγιαίνω, *f.* 2 ανῶ, aor. ανα, *se bien porter.*
φέρω**, *porter.*

II. LA VIE DE L'AME

Noms.

ἄγνοια, ας (ἡ), *ignorance.*
αἰδώς, οῦς (ἡ) *pudeur.*
αἰσχύνη, ης (ἡ), *honte.*
ἄλγος, ους (τό), *souffrance.*
ἀλήθεια, ας (ἡ), *franchise.*
ἀνία, ας (ἡ), *chagrin.*
ἄνοια, ας (ἡ), *sottise.*
ἀρετή, ῆς (ἡ), *vertu.*
βουλή, ῆς (ἡ), *avis.*
βούλησις, εως (ἡ), *volonté.*
γέλως, ωτος (ὁ), *rire.*
γνώμη, ης (ἡ), *pensée, avis.*
δάκρυα, ων (τά), *larmes.*
διάνοια, ας (ἡ), *pensée, intelligence.*
δόξα, ης (ἡ), *opinion.*
ἔθος, ους (τό), *coutume.*
ἐλπίς, ίδος (ἡ), *espérance.*
ἐπιθυμία, ας (ἡ), *désir.*
ἔρως, ωτος (ὁ), *amour.*
ἔχθρα, ας (ἡ), *haine.*
ζῆλος, ου (ὁ), *émulation.*
ἡδονή, ῆς (ἡ), *plaisir.*
ἦθος, ους (τό), *caractère.*
θάρρος, ους (τό), *hardiesse.*
θυμός, οῦ (ὁ), *cœur.*
κακία, ας (ἡ), *vice.*
λήθη, ης (ἡ), *oubli.*
λύπη, ης (ἡ), *chagrin.*
μανία, ας (ἡ), *fureur.*
μνήμη, ης (ἡ), *mémoire.*
μωρία, ας (ἡ), *folie.*
νόος-νοῦς, νοῦ (ὁ), *esprit.*
ὀδύνη, ης (ἡ), *douleur.*
ὀργή, ῆς (ἡ), *colère.*
πάθος, ους (τό), *sentiment; passion.*
πένθος, ους (τό), *deuil.*
πίστις, εως (ἡ), *confiance.*
πόθος, ου (ὁ), *regret.*
πονηρία, ας (ἡ), *méchanceté.*
σοφία, ας (ἡ), *sagesse.*
σπουδή, ῆς (ἡ), *activité.*
στεναγμός, οῦ (ὁ), *gémissement.*
συγγνώμη, ης (ἡ), *pardon.*
σωφροσύνη, ης (ἡ), *modération.*
τόλμα, ης (ἡ), *audace.*
τρόπος, ου (ὁ), *manière de penser.*
ὑπερηφανία, ας (ἡ), *orgueil.*
φθόνος, ου (ὁ), *envie.*

φόβος, ου (ὁ), *crainte.*
φρήν, ενός (ὁ), *esprit.*
φρόνησις, εως (ἡ), *pensée, raison.*
φροντίς, ίδος (ἡ), *souci.*
φύσις, εως (ἡ), *naturel.*
χαρά, ᾶς (ἡ), *joie.*
χάρις, ιτος (ἡ), *grâce.*
ψεῦδος, ους (τό), *mensonge.*
ψυχή, ῆς (ἡ), *âme.*

Adjectifs exprimant qualités ou défauts.

ἀγαθός, ή, όν, *bon.*
ἄγριος, α, ον, *sauvage.*
ἄδικος, ος, ον, *injuste.*
ἀθάνατος, ος, ον, *immortel.*
ἄθλιος, α, ον, *malheureux.*
αἰσχρός, ά, όν, *honteux.*
ἄκων, ουσα, ον, gén. οντος, etc., *qui ne consent pas.*
ἄνοος ους, οον-ουν, *insensé.*
ἄξιος, α, ον, *digne.*
ἄπιστος, ος, ον, *infidèle.*
ἀργός, ός, όν, *paresseux.*
ἀσελγής, ής, ές, *insolent.*
ἀστεῖος, α, ον, *courtois.*
ἄχαρις, ις, ι, gén. ιτος, *déplaisant.*
ἀχάριστος, ος, ον, *ingrat.*
βίαιος, α, ον, *violent.*
γενναῖος, α, ον, *généreux.*
δίκαιος, α, ον, *juste.*
δύσθυμος, ος, ον, *morose.*
δυσμενής, ής, ές, *malveillant.*
ἑκών, οῦσα, όν, gén. όντος, etc., *qui consent.*
ἔμπειρος, ος, ον, *expérimenté.*
εὐδαίμων, ων, ον, gén. ονος, etc., *heureux.*
εὐμενής, ής, ές, *favorable.*
εὔνοος-ους, οον-ουν, *bienveillant.*
εὐπρεπής, ής, ές, *convenable.*
ἡδύς, εῖα, ύ, *agréable.*
ἥμερος, ος, ον, *doux.*
ἥσυχος, ος, ον, *paisible.*
θρασύς, εῖα, ύ, *hardi.*
ἱκανός, ή, όν, *suffisant.*
ἱλαρός, ά, όν, *joyeux.*
κακός, ή, όν, *mauvais.*
μάταιος, α, ον, *vain.*
μέτριος, α, ον, *modéré.*
μωρός, ά, όν, *fou.*
πιστός, ή, όν, *fidèle.*
πρόθυμος, ος, ον, *empressé.*
ῥᾴθυμος, ος, ον, *nonchalant.*
σεμνός, ή, όν, *respectable.*
σπουδαῖος, α, ον, *zélé.*
συνετός, ή, όν, *intelligent.*
σφοδρός, ά, όν, *véhément.*
σώφρων, ων, ον, gén. ονος, *raisonnable.*
ταπεινός, ή, όν, *humble.*
τίμιος, α, ον, *honoré.*
ὑπερήφανος, ος, ον, *orgueilleux.*
φαῦλος, η, ον, *vil.*
φίλος, η, ον, *ami.*
φρόνιμος, ος, ον, *sensé.*
χαλεπός, ή, όν, *difficile.*
χαρίεις, εσσα, εν, gén. εντος, etc., *gracieux.*
χρηστός, ή, όν, *honnête.*
ψευδής, ής, ές, *menteur.*
ὠμός, ή, όν, *cruel.*

Verbes.

a) exprimant la pensée.

ἀγνοέω-ῶ, *f.* ήσω, *ignorer.*
αἰσθάνομαι**, *s'apercevoir.*
ἁμαρτάνω**, *se tromper.*
ἀπο-κρίνομαι, *répondre.*
ἀπορέω-ῶ, *f.* ήσω, *douter.*
ἀρνέομαι-οῦμαι, *f.* ήσομαι, *nier.*
γιγνώσκω**, *connaître, être d'avis.*
δείκνυμι, *f.* δείξω, *montrer.*
ἐν-νοέω-ῶ, *f.* ήσω, *réfléchir.*
ἐρωτάω-ῶ, *f.* ήσω, *interroger.*
ζητέω-ῶ, *f.* ήσω, *chercher.*
λέγω**, *dire.*
μέμνημαι, pf., *se rappeler.*
νοέω-ῶ, *f.* ήσω, *penser.*
νομίζω, *f.* σω att. ιῶ, *penser, croire.*
οἶδα**, *savoir.*
οἴομαι**, *je crois.*
ὁμολογέω-ῶ, *f.* ήσω, *avouer.*
πυνθάνομαι**, *s'informer.*
σιγάω-ῶ, *f.* ήσομαι, *se taire.*
φαίνω**, *faire paraître.*
φημί, *affirmer.*
φρονέω-ῶ, *f.* ήσω, *penser (cogito).*

b) exprimant le désir, le sentiment, la volonté.

αἱρέομαι**, moy., *préférer.*
ἀνιάω-ῶ, *f.* άσω, *chagriner.*
ἄρχομαι, *f.* ξομαι, *commencer.*
ἀσπάζομαι, *f.* άσομαι, *embrasser.*
βούλομαι**, *vouloir (désirer).*
γελάω-ῶ, *f.* άσω, *rire.*
δακρύω, *f.* σω, *pleurer.*
δέδοικα (δείδω**), *craindre.*
ἐθέλω, *f.* ήσω, *vouloir (avoir la volonté).*
ἐλεέω-ῶ, (*f.* ήσω), *prendre en pitié.*
ἐλπίζω, *f.* σω, *espérer.*
εὐεργετέω-ῶ, (*f.* ήσω), *faire du bien.*
κελεύω, *f.* σω, *ordonner.*
κρίνω, *f.* 2 νῶ, *juger.*
κρύπτω, *f.* ψω, *cacher.*
μισέω-ῶ, *f.* ήσω, *haïr.*
παύομαι, *f.* σομαι, *cesser.*
πιστεύομαι, *f.* σομαι, *se confier à.*
ποθέω-ῶ, *f.* ήσω, *regretter.*
συγ-γιγνώσκω**, *pardonner.*
τελέω-ῶ**, *achever.*
τολμάω-ῶ, *f.* ήσω, *oser.*
ὑπ-οπτεύω, *f.* σω, *soupçonner.*
φοβέομαι-οῦμαι, *f.* ήσομαι et ηθήσομαι, *craindre.*
χαίρω**, *se réjouir.*
ψεύδω, *f.* σω, *tromper.*

III. LA VIE PRIVÉE

Noms.

a) La famille.

ἀδελφή, ῆς (ἡ) *sœur*.
ἀδελφιδοῦς, οῦ (ὁ), *neveu*.
ἀδελφός, οῦ (ὁ), *frère*.
ἀνήρ, ἀνδρός (ὁ), *mari*.
γαμβρός, οῦ (ὁ), *gendre*.
γάμος, οῦ (ὁ), *mariage*.
γέρων, οντος (ὁ), *vieillard*.
γονεῖς, έων (οἱ), *parents*.
γραῦς, γραός (ἡ), *vieille femme*.
γυνή, γυναικός (ἡ), *femme*.
δέσποινα, ης (ἡ), *maîtresse*.
δεσπότης, ου (ὁ), *maître*.
δοῦλος, ου (ὁ), *esclave*.
ἑκυρός, οῦ (ὁ), *beau frère*.
ἑταῖρος, ου (ὁ), *compagnon*.
θεῖος, ου (ὁ), *oncle*.
θυγάτηρ, τρός (ἡ), *fille*.
κηδεστής, οῦ (ὁ), *parent par alliance*.
μάμμα, ης (ἡ), *grand mère*.
μήτηρ, τρός (ἡ), *mère*.
μήτρως, ωος (ὁ), *oncle maternel*.
μνηστήρ, ῆρος (ὁ), *le fiancé*.
νεανίας, ου (ὁ), *jeune homme*.
νύμφη, ης (ἡ), *jeune femme*.
νυός, οῦ (ἡ), *bru*.
οἰκέτης, ου (ὁ), *serviteur*.
οἰκετίς, ίδος (ἡ), *servante*.
ὄνομα, ατος (τό), *nom*.
παῖς, παιδός (ὁ), *enfant*.
πάππος, ου (ὁ), *grand-père*.
παρθένος, ου (ἡ), *jeune fille*.
πατήρ, τρός (ὁ), *père*.
πάτρως, ωος (ὁ), *oncle paternel*.
πρόγονοι, ων (οἱ), *ancêtres*.
τέκνον, ου (τό), *enfant*.
υἱός, οῦ (ὁ), *fils*.
υἱωνός, οῦ (ὁ), *petit-fils*.

b) La maison.

αὐλή, ῆς (ἡ), *cour*.
δαπάνη, ης (ἡ), *dépense*.
δᾴς, δᾳδός (ἡ), *flambeau*.
δίφρος, ου (ὁ), *siège*.
ἔριον, ου (τό), *laine*.
ἑστία, ας (ἡ), *foyer*.
θάλαμος, ου (ὁ), *chambre à coucher*.
θύρα, ας (ἡ), *porte*.
κιβωτός, οῦ (ἡ), *coffre*.
κλῖμαξ, ακος (ἡ), *escalier*.
κοίτη, ης (ἡ), *lit*.
λαμπάς, άδος (ἡ), *lampe*.
οἰκία, ας (ἡ), *maison*.
οἶκος, ου (ὁ), *chambre*.
οὐδός, οῦ (ὁ), *seuil*.
οὐσία, ας (ἡ), *biens*.
πατρῷα, ων (τά), *patrimoine*.
πενία, ας (ἡ), *pauvreté*.
πίναξ, ακος (ὁ), *tableau*.
πλοῦτος, ου (ὁ), *richesse*.

πῦρ, πυρός (τό), *feu*.
πύργος, ου (ὁ), *tour*.
σκεύη, ῶν (τά), *meubles*.
στέγη, ης (ἡ), *toit*.
στοά, ᾶς (ἡ), *portique*.
στρώματα, ων (τά), *couvertures*.
ταμίας, ου (ὁ), *intendant*.
τάπης, ητος (ὁ), *tapis*.
τοῖχος, ου (ὁ), *mur*.
τράπεζα, ης (ἡ), *table*.
φρέαρ, ατος (τό), *puits*.

c) Les repas.

ἅλς, ἁλός (ὁ), *sel*.
ἄλφιτον, ου (τό), *farine*.
ἄριστον, ου (τό), *déjeuner*.
ἄρτος, ου (ὁ), *pain*.
γάλα, γάλακτος (τό), *lait*.
δεῖπνον, ου (τό), *dîner*.
δίαιτα, ης (ἡ), *régime*.
ἔκπωμα, ατος (τό), *coupe*.
ἔλαιον, ου (τό), *huile*.
κρατήρ, ῆρος (ὁ), *cratère*.
κρέας, έως (τό), *viande*.
λάχανον, ου (τό), *légume*.
λεκάνη, ης (ἡ), *bassin*
μέλι, ιτος (τό), *miel*.
οἶνος, ου (ὁ), *vin*.
ὄξος, ους (τό), *vinaigre*.
ὄψον, ου (τό), *mets*.
πότος, ου (ὁ), *boisson*.
σῖτα, ων (τά), *aliments*.
συμπόσιον, ου (τό), *banquet*.
τροφή, ῆς (ἡ), *nourriture*
τυρός, οῦ (ὁ), *fromage*.
ὕδωρ, ὕδατος (τό), *eau*.

d) La toilette.

ἐσθής, ῆτος (ἡ), *vêtements*.
ζώνη, ης (ἡ), *ceinture*.
ἱμάτιον, ου (τό), *manteau*.
κάλυμμα, ατος (τό), *voile*.
κάτοπτρον, ου (τό), *miroir*.
κόθορνος, ου (ὁ), *brodequin*.
κόσμος, ου (ὁ), *parure*.
κουρεύς, έως (ὁ), *barbier*.
κρηπῖδες, ων (αἱ), *sandales*.
λουτρόν, οῦ (τό), *bain*.
μύρον, ου (τό), *parfum*.
πέπλος, ου (ὁ), *robe de femme*.
πέτασος, ου (ὁ), *chapeau*.
πορφύρα, ας (ἡ), *pourpre*.
ῥάκιον, ου (τό), *haillon*.
στέφανος, ου (ὁ), *couronne*.
στολή, ῆς (ἡ), *robe longue toga romana*).
τρίβων, ωνος (ὁ), *manteau grossier*.
χιτών, ῶνος (ὁ), *tunique*.
χλαῖνα, ης (ἡ), *grand manteau*.
χλανίς, ίδος (ἡ), *petit manteau*.
ψέλιον, ου (τό), *bracelet*.

Adjectifs.

γλυκύς, εῖα, ύ, *doux (au goût)*.
γυμνός, ή, όν, *nu*.
εὐγενής, ής, ές, *de bonne naissance*.
κομψός, ή, όν, *élégant*.
λίχνος, η, ον, *gourmand*.
μέθυσος, η, ον, *ivre*.
πένης, ητος, *pauvre*.
πλούσιος, α, ον, *riche*.
πορφυροῦς, ᾶ, οῦν, *de pourpre*.
ῥυπαρός, ά, όν, *sale*.
φειδωλός, ή, όν, *économe*.
χρήσιμος, η, ον, *utile*.

Verbes.

ἀναλίσκω**, *dépenser*.
ἀν-οίγω, *f*. ξω, *ouvrir*.
ἀριστάω-ῶ, *f*. ήσω, *déjeuner*.
γαμέω-ῶ, *f*. ήσω, *se marier*.
δειπνέω-ῶ, *f*. ήσω, *dîner*.
ἐν-δύω, *f*. σω, *revêtir*.
εὐπορέω-ῶ, *f*. ήσω, *être à son aise*.
κλείω, *f*. σω, *fermer*.
λούω, *f*. σω, *baigner*.
οἰκέω-ῶ, *f*. ήσω, *habiter*.
πετάννυμι, *f*. πετάσω, *déployer*.
πλουτέω-ῶ, *f*. ήσω, *être riche*.
στέγω, *f*. ξω, *couvrir*.
τάττω, *f*. ξω, *ranger*.
τρέφω, *f*. θρέψω, *nourrir*.
φείδομαι, *f*. σομαι, *épargner*.

IV. LA VIE PUBLIQUE

Noms.

ἄγγελος, ου (ὁ), *nouvelle; messager*.
ἀγορά, ᾶς (ἡ), *place publique*.
ἀγυιά, ᾶς (ἡ), *rue*.
ἀκροατής, οῦ (ὁ), *auditeur*.
ἀριστοκρατία, ας (ἡ), *aristocratie*.
ἀρχή, ῆς (ἡ), *pouvoir*.
ἄρχων, οντος (ὁ), *magistrat*.
ἄστυ, εως (τό), *ville*.
Βάρβαροι, ων (οἱ), *Barbares (étrangers)*.
βασιλεύς, έως (ὁ), *roi*.
βῆμα, ατος (τό), *tribune*.
βουλή, ῆς (ἡ), *conseil, sénat*.
δημαγωγός, οῦ (ὁ), *démagogue*.
δημοκρατία, ας (ἡ), *démocratie*.
δῆμος, ου (ὁ), *peuple*.
διαβολή, ῆς (ἡ), *calomnie*.
ἔθνος, ους (τό), *nation*.
εἰρήνη, ης (ἡ), *paix*.
εἰσφορά, ᾶς (ἡ), *contribution*.
ἐκκλησία, ας (ἡ), *assemblée du peuple*.
ἐλευθερία, ας (ἡ), *liberté*.
Ἕλλην, ηνος (ὁ), *Grec*.
ἔρις, ιδος (ἡ), *querelle*.
ἔφορος, ου (ὁ), *éphore*.
ἡλιαία, ας (ἡ), *héliée (tribunal d'Athènes)*.

ἡλιαστής, οῦ (ὁ), *héliaste (juge à Athènes).*
θόρυβος, ου (ὁ), *bruit.*
ἰδιώτης, ου (ὁ), *simple particulier.*
κῆρυξ, υκος (ὁ), *héraut.*
κλῆρος, ου (ὁ), *tirage au sort.*
κόλαξ, ακος (ὁ), *flatteur.*
μέτοικος, ου (ὁ), *métèque.*
μοναρχία, ας (ἡ), *monarchie.*
νομοθέτης, ου (ὁ), *législateur.*
νομος, ου (ὁ), *loi.*
ὀλιγαρχία, ας (ἡ), *oligarchie.*
ὀστρακισμός, οῦ (ὁ), *sentence d'exil.*
ὄχλος, ου (ὁ), *populace.*
πανήγυρις, εως (ἡ), *assemblée nationale.*
πλῆθος, ους (τό), *foule.*
πόλις, εως (ἡ), *cité.*
